ται τὸ κοινὸν των Μαγνήτων ἐς τοὺς Ἕλλανας, ἀποδόντων δὲ καὶ τὸ ψάφισμα, καθ' ὃ παρεκάλουν δέχεσθαι τὰν ἐκεχειρίαν χρήσαντος τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς λώιον εἶμ]εν καὶ ἄμεινον [τ]οῖς σεβομένοις Ἄρτεμιν Λευκοφρυηνὰν καὶ τὰν πόλιν αὐτῶν καὶ τὰν χώραν ἱερὰν καὶ ἄσυλον εἶμ]εν, διὸ καὶ τὸν δᾶμον ἐψαφίσθαι τᾶι εὐεργέτιδι τᾶς πόλιος Ἀρτέμιδι Λευκοφρυηνᾶι διὰ πέντε ἐτέων θυσίας καὶ πανάγυριν καὶ ἀγῶνα στεφανίταν ἰσοπύθιον μουσικόν τε καὶ γυμνικὸν καὶ ἱππικὸν ποιεῖν, δικαίαν ἀποδιδόντας χάριν τᾶι εὐεργέτιδι, παρακαλούντ[ων αὐτῶν ὅπως οἱ οἰκεῖοί τε καὶ φίλοι μετέχ(ω)ντι τᾶν θυσιᾶν τᾶν συντελουμενᾶν ὑπ' αὐτῶν, καὶ ἐμφανιζόντων τὰν ἐπιφάνειαν τᾶς θεοῦ, δεδόχθαι τᾶι βουλᾶι τῶν Ἀκαρνάνων καὶ τοῖς χιλίοις· τάν τε θυσίαν καὶ ἐκεχειρίαν καὶ τὸν ἀγῶνα ποτιδέχεσθαι στεφανίταν ἰσοπύθιον ταῖ[ς] τιμαῖς, εἶμεν δὲ αὐτῶν τάν τε πόλιν καὶ τὰν χώραν ἱερὰν καὶ ἄσυλον, ἀποστέλλε[ι]ν δὲ καὶ θεωροὺς τοὺς (σ)υνθύσοντας τὰν θυσίαν καὶ θεαροδόκους καταστᾶσαι ἑκάσταν πόλιν τᾶν Ἀκαρνανίδων τοὺς ὑποδεξομένους ἀεὶ τοὺς παραγινομένους θεωροὺς παρὰ τῶν Μαγνήτων, δόμεν δὲ Ἵππαρχον τὸν ταμίαν εἰς ἀπαρχὰν τᾶι θεῶι εἰς τὰν θυσίαν ἀργυρίω δραχμὰς ἑκατὸν πεντήκοντα, ἀνανεώσασθαι δὲ καὶ τὰν φιλία]ν καὶ τὰν οἰκειότατα καθὼς παρεκάλουν· ὅπως δὲ] μεί[ν]ηι εἰς τὸν ἅπαντα χρόνον, ἀναγράψαι ⟨δὲ⟩ τὰ δεδ]ογμένα εἰς στάλαν λιθίναν Ἵππαρχον τὸν ταμίαν] καὶ ἀναθέμεν ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος τοῦ Ἀκτ]ίου· εἶμεν δὲ προξένους καὶ εὐεργέτας τοῦ κοινοῦ] τῶν Ἀκαρνάνων κατὰ τὸν νόμον Ἀριστόδαμον] Διοκλέο(ς), Ἀριστέα Γοργάσου, Ἀντάνορα Κωλωτίωνος.]

Κατὰ τὰ αὐτὰ δὲ ἐψηφίσαντο·

Θυῤῥεῖς	Μεδιώνιο[ι
Λευκάδιοι	Παλαιρεῖς
Ἀνακτόριοι	. οκρεῖς
Ἀλυζεῖς	. . . λε[ῖς?

7 Der Raum erlaubt nur die Ergänzung des kürzesten Zahlworts 24 ΜΕΤΕΧΟΝΤΙ 31 Ι aus Σ korrigiert 43 Σ hat nie dagestanden.

Psephisma des κοινὸν τῶν Ἀκαρνάνων.

Unter den Subscribenten fehlt Οἰνιάδαι, das erst im Jahre 189 den Akarnanen von den Aitolern zurückgegeben wurde (Polybios XXI 32, 14). Es fehlt aber auch Nr. 28 unter dem Psephisma der Aitoler; daher kann Nr. 30 der Rest des Psephisma von Oiniadai sein. Aber die hier sonst vermissten akarnanischen Städte (Astakos, Phoitiai, Metropolis) können in einer Subscription von Nr. 30 nicht gestanden haben, da es eine solche nie gegeben hat. Als eponymer Beamter der Akarnanen erscheint sonst der ἱεραπόλος τοῖ Ἀπόλλωνι τοῖ Ἀκτίοι z. B. in dem um 220 gegebenen Psephisma aus Sparta (Collitz Dialektinschr. Nr. 1379): Ἐπὶ ἱεραπόλου τοῖ Ἀπόλλωνι τοῖ Ἀκτίοι Θευδότου τοῦ Σώτωνος Ἀνακτοριέος, γραμματέος δὲ τᾶι βουλᾶι Κλεάνδρου τοῦ Λυκίσκου Ἀνακτοριέος, προμνάμονος δὲ Σωπάτρου τοῦ Σωτίωνος Ἀνακτοριέος καὶ συμπρυμναμόνων Ἀριστάνδρου τοῦ Ἀρχεστράτου Θυῤῥείου, Ἀλεξιμάχου τοῦ Καρδαμίωνος Λιμναίου, Φιλιστίωνος τοῦ Δεξάνδρου Ματροπολίτα, μηνὸς Κουροτρόπου, ἔδοξε τᾶι βουλᾶι καὶ τοῖ κοινοῖ τῶν Ἀκαρνάνων. Das einzige, nach 189 gegebene Psephisma, in dem nach dem στραταγός wie hier datiert wird, ist stark verstümmelt Collitz Nr. 1380b: Ἐπὶ στρα[ταγοῦ . . . .]| ωνος Οἰν[ιάδα . . . .]|χου τοῦ . . . .| ἔδοξε τᾶ[ι βουλᾶι καὶ τῶι κοινῶι τῶν Ἀκαρνάνων]. Der ἱππάρχας (Z. 2) als Beamter des κοινὸν nur hier. Tyrrheion steht als Vorplatz des Bundes an erster Stelle (Z. 46).

32. Löcher vor der Schrift.

Ἐπειδὴ Μάγνητες οἱ ἐπὶ Μαιάνδ]ρωι φίλο[ι ὄ]ντες καὶ οἰκεῖοι [τῶν Ἀπειρωτᾶν ψάφισμ]ά τε καὶ πρεσβευτὰς ἀποστείλαν[τες Ἀριστόδαμο]ν Διοκλέος, Ἀριστέα Γοργάσου, Ἀντάν[ορα Κωλωτίων]ος, τάν τε φιλίαν καὶ τὰν οἰκειότατα ἀ[νενεώσ]αντο καὶ παρεκάλουν τοὺς Ἀπειρώτας ἀποδέξασθαι τὸν ἀγῶνα, ὃν τίθητι ἁ πόλις τῶν Μαγνήτων τᾶι Ἀρτέμιδι τᾶι Λευκοφρυηνᾶι κατὰ πενταετηρίδα μουσικόν τε καὶ γυμνικὸν καὶ ἱππικὸν ἰσοπύθιον ταῖς τιμαῖς κατὰ τὰς μαντείας τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς, ἐνεφάνιξαν δὲ οἱ πρεσβευταὶ καὶ τὸγ χρησμὸν, ἐν ὧι λώιον ἦγ καὶ ἄμεινον τιμᾶ(σι)ν Ἀπόλλωνα Πύθιον καὶ Ἄρτεμιν Λευκοφρυηνὰγ καὶ τὰν πόλιν καὶ τὰγ χώραν τῶν Μαγνήτων ἱερὰγ καὶ ἄσυλον νομίζουσιν, ἀπελογίξαντο δὲ καὶ τὰν ἐπιφάνειαν τᾶς θεοῦ καὶ τὰς γεγενημένας ἀπὸ τῶν Μαγνήτων εἰς τοὺς Ἕλλανας εὐχρηστίας τε καὶ εὐεργεσίας καὶ ἀξίουγ καὶ παρεκάλουν τοὺς Ἀπειρώτας ἀποδέξασθαι καὶ συναυξῆσαι τὰς ἐψηφισμένας τιμὰς τᾶι θεῶι· τα[ῦτ]α γὰρ ποιήσαντας ἀκόλουθα πράξειν τ(ᾶ)ι τοῦ θεοῦ μαντείαι, χαριεῖσθαι δὲ καὶ τῶι δάμωι· δεδόχθαι τοῖς Ἀπειρώταις· τάν τε οἰκειότατα καὶ φιλίαν τὰν ὑπάρχουσαν τοῖς Ἀπειρώταις ποτὶ τοὺς Μάγνητας ἀνανεώσασθαι, καὶ τὸν ἀγῶνα ὃν τίθητι ἁ πόλις τῶν Μαγνήτων τᾶι Ἀρτέμιδι τᾶι Λευκοφρυηνᾶι [π]οτιδέχε[σ](θ)αι στεφανίταν ἰσοπύθιον ταῖς τιμαῖς· καὶ τὰν [π]όλιν δὲ καὶ τὰν χώραν τῶν Μαγνήτων εἶμεν ἱερὰν κα[ὶ] ἄσυλον, καθίστασθαι δὲ καὶ θεαροδόχους τοὺς ὑποδεξομένους τοὺς θεωροὺς τοὺς ἑκαστάκις παραγινομένους καὶ ἐπαγγέλλοντας τὰν θυσίαν καὶ τὸν ἀγῶνα⟨ι⟩ ἐκ τᾶς τῶν Μαγνήτων πόλιος, ἀποστέλλειν δὲ καὶ θεωροὺς τοὺς συνθύσοντας καὶ συναυξήσοντας τὰς τιμὰς τᾶι θεῶι, ὑπάρχειν δὲ καὶ τοῖς Μάγνησιν φίλοις καὶ οἰκείοις οὖσιν τὸ δίκαιογ καθάπερ καὶ τοῖς προξένοις τῶν Ἀπειρωτᾶν. ὅπως δὲ εἰς τὸν ἅπαντα χρόνον ὑπάρχηι φανερὰ τὰ δε[δ]ογμένα, ἀναγράψαι τ[ὸ] ψάφισμα ἐν Δωδώναι ἐν τῶι ἱερῶι τοῦ Διὸς τοῦ Νάου ἐν τῶι βήματι τῶι Ἀθηναίων ἀναθέματι, καὶ ἐπιμεληθῆμεν ὅπως γράψηι Κρίσωνα τὸν στραταγὸν καὶ τοὺς συνάρχοντας, τὸ δὲ ἀνάλωμα δόμεν Χαροπίδαν τὸν ἐπικαθιστάμενον γραμματῆ⟨ι⟩ συνεδρίου, ἐπαινέσαι δὲ καὶ τοὺς πρεσβευτὰς Ἀριστόδαμον Ἀριστέα Ἀντάνορα ὅτι παρ[ε]πεδάμησάν τε καὶ διελέγη[ν] περὶ πάντων ἀξίω[ς] τᾶς τε πόλιος τῶν Μαγνήτων καὶ τοῦ ἔθνους τῶν Ἀπειρωτᾶν, διὸ προξένους εἶμεν αὐτούς τε καὶ ἐκγόνους εἰς τὸν ἅπαντα χρόνον, ὑπάρχειν δὲ αὐτοῖς καὶ πολιτείαν καὶ ἀσφάλειαν παρὰ Ἀπειρωτᾶν καὶ πολέμου καὶ εἰράνας καὶ ἀτέλειαν καὶ ἐντέλειαν καὶ τὰ ἄλλα πάντα, καθὼς κ]αὶ τοῖς ἄλλοις Ἀπειρώταις. δόμεν δὲ καὶ ἐκέχειρον αὐτοῖς Χα]ροπίδαν τὸν [γ]ραμματῆ⟨ι⟩ τῶν συνέδρ[ων

ὅσον καὶ τοῖς] τὰ Πύθια ἐπαγγέλ[λουσ]ιν ἐν τοῖς ν[όμοις.

Κατὰ τὰ αὐτὰ] δὲ ἀπεδέξαντο Κα]σ[σ]ωπαῖοι.

11 ΤΙΜΑΝ τιμᾶ(σι)ν? W. Schulze. Vgl. τιμᾶντι in dem Orakel aus Dodona Collitz Nr. 1587. 18 ἐψηφισμένας Fehler des Magneten. 19 ursprünglich stand ΤΗΙ da, daraus ist später ΑΗΙ geworden: es sollte natürlich ΤΑΙ werden. 24 ΟΤΙΔΕΧΕΤΑΙ

Psephisma der Epiroten.

Praescript war niemals vorhanden. Wenig jünger als das vorliegende sind Collitz Nr. 1338. 1339, datiert durch Ἀντίνοος Κλαθιατός, mit welchem der Molosser Antinoos (Polyb. XXVII 15,7; XXX 7,2), der Anhänger des Perseus von Makedonien, identisch ist. Vollständiges Praescript Nr. 1339 Ἀγαθᾶι τύχαι. Στραταγοῦντος Ἀπειρωτᾶν Ἀντινόου Κλαθιατοῦ, γραμματεύοντος δὲ συνέδροις Δοκίμου τοῦ Κεφαλίνου Τορυδαίου, Γαμιλίου ἐμ Βουνίμαις ἕκτ(α)ι καὶ εἰκάδι, (προστάτας) Λύων Εὐρώπιος, ποθόδωμα γραψαμένου Λυσανία τοῦ Νικολάου Καριώπου περὶ προξενίας.

35 Demosthen. Mid. 53 (ἐκ Δωδώνης μαντεῖαι) τράπεζαν χαλκῆν πρὸς τὸ ἀνάθημα ὃ ἀνέθηκεν ὁ δῆμος ὁ Ἀθηναίων. Hyperides pro Euxenippo 24 ὑμῖν γὰρ ὁ Ζεὺς ὁ Δωδωναῖος προςέταξεν ἐν τῇ μαντείᾳ τὸ ἄγαλμα τῆς Διώνης ἐπικοσμῆσαι· καὶ ὑμεῖς — — — ἐπεκοσμήσατε τὸ ἕδος τῆς Διώνης ἀξίως καὶ ὑμῶν αὐτῶν καὶ τῆς θεοῦ.

---

33. Mehrfach Löcher vor der Schrift.

Ταγευόντων τῶν περὶ Εὔδημον τὸν Νικάνορος, Νίκαιον τὸν Νικάρχου, Μίκυθον (τὸν) Παρμενίωνος, Γόρρασον τὸν Ἀσάνδρου, Ἄσανδρον τὸν Ἐπίνου ἔδοξεν τῆι πόλει τῆι Γοννέων· ἐπειδὴ Μάγνητες οἱ ἐπὶ Μαιάνδρου φίλοι ὄντες καὶ συγγενεῖς Γοννέων, ἔχοντες τὴν πόλιν καὶ τὴν χώραν ἱερὰν καὶ ἄσυλον τῆς Ἀρτέμιδος τῆς Λευκοφρυηνῆς καὶ αὔξοντες τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν, ἀποστείλαντες ἄνδρας Διαγόραν Κρατίνου, Ζώπυρον Ἑρμώνακτος, Διότιμον Λυκομήδου[ς τήν τε θυσίαν ἐπήγγελλον καὶ τὴν πανή[γυ]ριν καὶ τὸν ἀγῶνα ὃν προκεχειρισμένοι εἰσὶν συντελεῖν τῆ[ι Ἀρτ]έμιδι τῆι Λευκοφρυηνῆι κατὰ τὸν χρησμὸν τοῦ ἐν Δελφοῖς θεοῦ στεφανίτην ἰσοπύθιον μουσικὸν καὶ γυμνικὸν καὶ ἱππικόν, καὶ ἀνενεώσαντο τὴν ἐξ ἀρχῆς ὑπάρχουσαν φιλίαν καὶ οἰκειότητα Μάγνησίν τε καὶ Γοννεῦσιν, δεδόχθαι τῆι πόλει· τήν τε θυσίαν καὶ τὴν πανήγυριν καὶ τὸν ἀγῶνα ἀποδέξασθαι ἰσοπύθιον καὶ τὸ ἐκεχείριον δοῦναι τοὺς ταμίας ἐκ τῶν κοινῶν προσόδων, ὅσον καὶ τοῖς ἐπαγγέλλουσιν τὰ Πύθια, δραχμὰς Δημητριείους εἴκοσιν, δίδοσθαι δὲ καὶ τοῖς νικήσασιν Γοννέων τοὺς ἀγῶνας τού[τ]ο(υς) ὅσον καὶ τοῖς τὰ Πύθια νικῶσιν δίδοται, ἀποστέλλειν δὲ καὶ θεωροὺς καθ' ἑκάστην σύνοδον τοὺς κοινωνήσοντας τῆς θυσίας. ἐπαινέσαι δὲ καὶ τοὺς ἀπεσταλμένους ἄνδρας Διαγόραν Ζώπυρον Διότιμον ἐπὶ τῆι φιλοτιμίαι ἧι πεποίηνται πρὸς τὴν πόλιν, ἀναγράψαι δὲ καὶ τὸ ψήφισμα τόδε εἰς τὰ κοινὰ γράμματα καὶ ἀνενεγκεῖν εἰς τὸ νομοφυλάκιον, ὅπως καὶ εἰς τὸν ἐνεσόμενον χρόνον ἀεὶ τοῖς ἀποστελλομένοις ὑπάρχωσιν τὰ τίμια πάντα ἀξίως [τ]ῆ[ς] θ[ε]ᾶς· ἅ[πε]δείχθη θεωροδόκος ἡ πόλις.

Ἀκολούθως δὲ ἔδοξεν ψηφίσασθαι Φαλανναίοις.

2 Nicht Γόργασον, wie man erwartet.

Psephisma von Gonnos.

Ein Psephisma von Gonnos war noch nicht bekannt.

34. Von Z. 13 an auf neuem Stein, ebenso wieder von Z. 30 an. Mehrfach Löcher vor der Schrift.

Παρὰ τοῦ κοινοῦ τῶν Φωκέων·

Ἐπε[ι]δὴ Μάγνητες οἱ ἐπὶ Μαιάνδρωι οἰκεῖοι ὄντες καὶ φίλοι Φωκέων ψάφισμα καὶ θεωροὺς [ἀ]πεστάλκαντι Ἀπολλοφάνην Αἰσχύλου, Εὔβουλον Ἀναξαγόρα, Λυκομήδ[η]ν Χαρισίου, οἵτινες παραγενόμενοι ποτὶ τὸ κοινὸν τῶμ Φωκέων ἀνενεώσαντό τε τὰν διὰ προγόνων ὑπάρχουσαν οἰκειότατα καὶ φιλίαν ποτὶ Μάγνητας καὶ ἀπολογιξάμενοι διὰ πλειόνων τάν τε τᾶς θεᾶς Ἀρτέμιτος ⟨τὰν⟩ ἐπιφάνειαν τᾶς Λευκοφρυηνᾶς κὴ τὰς γεγενημένας ὑπὸ τῶμ προγόνων αὐτῶν ἐν τοὺς Ἕλλανας [εὐ]εργεσίας παρεκάλεσαν μετὰ πάσας σπουδᾶς καὶ φιλοτιμίας ἀποδέξασθαι τοὺς Φωκεῖς τὸν ἀγῶνα στεφα[νίταν ἰσο]πύθιον, ὃν τίθεντι τᾶι Ἀρτέμιτι τᾶι Λε[υκοφρυη]ν[ᾶι, καὶ τὰν πόλιν αὐ[τ]ῶν[καὶ] τὰγ χώραν ἱερὰν [κ]αὶ ἄσουλον εἶμεν, καθότι [α]ὐτοῖς καὶ ὁ θεὸς ὁ ἐν Δελφοῖς ἔχρησεν· ὅπως οὖν καὶ τὸ κοινὸν τῶμ Φωκέων φαίνηται τάν τε πὸτ τὸ θεῖον εὐσέβειαν καὶ τὰς τιμὰς συναύξειν, καθότι αὐτοῖς πάτριόν ἐστιν, μναμονεύοντες τᾶς οἰκειότατος καὶ φιλίας ποτὶ Μάγνητας· δεδόχθαι Φωκεῦσι· ἀποδέξασθαι τὸν ἀγῶνα ὃν τίθεντι Μάγνητες τᾶι Ἀρτέμιτι τᾶι Λευκοφρυηνᾶι στεφανίταν ἰσοπύθιον, κα[ὶ] τὰμ πόλιν αὐτῶγ καὶ τὰγ χώραν ἱερὰν καὶ ἄσουλον εἶμεν, καθὼς κὴ [ὁ] θεὸς ἔχρησεν, καὶ τετάχθαι τοῖς νικεόντοις ⟨ἄθλοις⟩ ἆθλα καὶ τιμὰς ἃς καὶ τοῖς τὰ Πύθια νικεόντοις, ἀποστέλλειν δὲ καὶ θεαροὺς καὶ θύειν, καθάπερ καὶ ἐν τοὺς λοιποὺς ἀγῶνας, ὅ(κ)α παραγγέλλω[ν]τι Μάγνητες, ἐπαινέσαι δὲ καὶ τοὺς θεαροὺς Ἀπολλοφάνην Αἰσχύλου, Εὔβουλον Ἀναξαγόρα, Λυκομήδην Χαρισίου καὶ στεφανῶσαι αὐτοὺς δάφνας στεφάνωι κατὰ τὰ πάτρια εὐσεβείας ἕνεκεν τᾶς ποτὶ τὰν θεὰν καὶ τᾶς ἐν τὰμ πατρίδα φιλοτιμίας, καὶ εἶμεν αὐτ[οὺς] καὶ ἐκγόνους προξένους καὶ εὐερ[γέτ]ας τοῦ κοιν[οῦ τ]ῶ[μ Φωκέ]ων καὶ ἰσοπολίτας καὶ ὑπάρχειν αὐτ[οῖς πάντα τὰ φιλάνθρωπα ὅσ]α καὶ τοῖς π]ροξένοις καὶ εὐεργέτ[α]ις Φωκέων, ἀναγράψαι δὲ καὶ τοὺς[Φωκάρχας [τ]ὸ ψάφισμ[α τ]οῦ[τ]ο ἐν στάλαι λιθίναι καὶ ἀναθεῖναι ἐ[ν]τὸ ἱερὸν τᾶς Ἀθανᾶς τᾶς Κραναίας, τὸ δὲ ἀνάλωμα δόμεν τοὺς [Φ]ωκάρχας καὶ τοὺς χρ[η]ματιστὰς τᾶς π[όλιος], καταχωρίξαι δὲ τοὺς νομογράφους κα[ὶ] ἐν τοὺς νόμους [τ]ὸ ψάφισμα τοῦτο, [καλέσαι δὲ τοὺς Φωκάρχας καὶ ἐπὶ ξένια τοὺς θεαρούς.

23 ΟΣΙΑ verbessert von W. Schulze. Spuren boiotischer Orthographie: Z. 9. 13. 20.

Das erste vollständig erhaltene Psephisma des κοινὸν τῶν Φωκέων.

Unvollständig (Praescript verloren) ist das Bullet. de corresp. hellén. X (1886) S. 363, XI (1887) S. 333 veröffentlichte Psephisma der Phoker.

---

35. Hier beginnen die Urkunden der Westwand; vgl. zu Nr. 16—87.

Ἐπὶ] ἀρχόντων Λυκίνου τοῦ Λύκου, Φαλακρίωνος τ[οῦ ......]κράτου το[ῦ Εὐ]ηθίδα, γραμματέος Τίμωνος τοῦ Σωτάκου, ἱερο[ποιοῦ Φι]λίσκου τοῦ Ἀνδρ]ομήδους, πρεσβευτᾶν παραγενομένων παρὰ τοῦ [δ]άμου τοῦ Μαγνήτων τῶ]ν ἐπὶ Μαιάνδρου, τῶν δὲ αὐτῶν ἀρχιθεώρου Σωσικλέος τοῦ Διοκλέο]ς καὶ θεωρῶν Ἀριστοδάμου τοῦ Διοκλέος, Διοτ[ί]μου τοῦ Μηνοφίλου,

κ]αὶ τό τε ψάφισμα ἀποδόντων καὶ ἐμφανιζόντων τάν τε τᾶς Ἀρτέμιτο]ς ἐπιφάνειαν καὶ τὰς γεγενημένας ὑπὸ τῶν προγόνων αὐτῶν ἐν τοὺς Ἕ]λλανας εὐεργεσίας καὶ ἐν τὸ ἱερὸν τὸ ἐν Δελφοῖς διά τε τῶν τοῦ θεοῦ χ]ρησμῶν καὶ διὰ τῶμ ποιητᾶν καὶ διὰ τῶμ ψαφισμάτων τῶν ὑπαρχόντ]ων αὐτοῖς παρὰ ταῖς πολίοις καλῶν τε καὶ ἐνδόξων καὶ παρακαλούντων ἀποδέξασθαι τάν τε θυσίαν καὶ τὰν ἐκεχηρίαν καὶ τὸν ἀγῶνα, ὃν τίθεντι τᾶι Ἀρτέμιτι τᾶι Λευκοφρυηνᾶι στεφανίταν ἰσοπύθιον ταῖς τιμαῖς, ἐμφανιξάντων δὲ καὶ περὶ τᾶς οἰκειότατος τᾶς ὑπαρχούσας Μαγνήτοις ποτὶ Κεφαλλᾶνας κατὰ τὰν συγγένειαν τὰμ Μάγνητος καὶ Κεφάλου τοῦ Δηΐονος μετὰ πάσας φιλοτιμίας· ὅπως οὖν καὶ ἁ πόλις τῶν Σαμαίων φαίνηται συναύξουσα τὰς τῶν θεῶν τιμάς, καθὼς πάτριόν ἐστιν Σαμαίοις, δεδόχθαι τᾶι πόλει τῶν Σαμαίων· ἐπαινέσαι μὲν τὸν δᾶμον τὸμ Μαγνήτων ἐπί τε τᾶι ποτὶ τοὺς θεοὺς εὐσεβείαι καὶ ἐπὶ τᾶι ποτὶ τοὺς Σαμαίους εὐνοίαι, καὶ καλεῖν τὸν δᾶμον τὸμ Μαγνήτων ἐμ προεδρίαν Διονυσίοις καὶ ἐν τὰν θυσίαν καὶ τὸν ἀγῶνα τοῦ Κεφάλου, ὃν τίθητι ἁ πόλις, εὐσεβείας ἕνεκεν καὶ εὐεργεσίας τᾶς τε ἐν τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ ἐν τοὺς ἄλλους Ἕλλανας, δέχεσθαι δὲ καὶ τὸν ἀγῶνα, ὃν τίθεντι τᾶι Ἀρτέμιτι τᾶι Λευκοφρυηνᾶι στεφανίταν ἰσοπύθιον ταῖς τιμαῖς, καθὼς ἐπάγγελλον ὅ τε ἀρχιθέωρος καὶ οἱ θεωροί, εἶμεν δὲ αὐτῶν τάν τε πόλιν καὶ τὰν χώραν ἱερὰν καὶ ἄσυλον, καθὼς ὁ Ἀπόλλων ὁ ἐν Δελφοῖς ἀνιέρωσεν, ἀποστέλλειν δὲ καὶ θεωροὺς ἐμ Μαγνησίαν, οἵτινες συνθυσοῦντι τὰν θυσίαν καὶ συναυξησοῦντι τὰς τιμὰς τᾶι θεῶι, ἐπαινέσαι δὲ τόν τε ἀρχιθέωρον καὶ τοὺς θεωροὺς καὶ εἶμεν προξένους καὶ εὐεργέτας τᾶς πόλιος τῶ[ν] Σαμαίων Σωσικλέα Ἀριστόδαμον Διότιμον, ἐπειδὴ διελέγ⟨ει⟩εν τε καὶ παρε[π]εδάμησαν ἀξίως τᾶς τῶμ Μαγνήτων πόλιος καὶ τᾶς τῶν Σαμαίων, καὶ ὑπάρχειν αὐτοῖς πάντα τὰ φιλάνθρωπα παρὰ τᾶς πόλιος, ὅσα καὶ τοῖς λοιποῖς προξένοις καὶ εὐεργέταις, δόμεν δὲ τοῖς θεωροῖς ἐνεκέχηρον ἀργυρίου ἡμιμναῖον καὶ ἐνέστιον οἶν, καλέσαι δὲ αὐτοὺς καὶ ἐπὶ ξένια ἐμ πρυτανεῖον ἐπὶ τὰν κοινὰν ἑστίαν, ἑλέσθαι δὲ καὶ θεαροδόκον τὸν ὑποδεξόμενον τὰς παραγινομένας θεωρίας παρὰ τῶμ Μαγνήτων· — ἁ[ιρέ]θη Κ]λευφάνης Σιμάκο[υ]. — τὸ δὲ ψάφ[ι]σμα τοῦτο ἀναγράψαι ἐν στάλαν καὶ ἀνα[θέμε]ν τ]οὺς ἄρχοντας ἐν τᾶι ἀγορᾶι παρὰ τὸ ἱερὸν τᾶς Ἀρτέμιτος, καταχωρίξαι δὲ καὶ ἐν τοὺς νόμους τούς τε ἄρχοντας καὶ τοὺς νομογράφους, παραπέμψαι δὲ αὐτοὺς ἐν Ἰθάκαν.

Κατὰ τὰ αὐτὰ δὲ ἐψηφίσαντο·
Παλεῖς [Κ]ράνιοι [Πρῶ]νν[οι.

Psephisma von Same auf Kephallenia.

28 ΔΙΕΛΕΓΕΙΕΝ 38 Ein Teil der Unterschrift steht unter dem Psephisma von Ithaka (Nr. 36).

Das erste Psephisma der Insel, die, obwohl sie im Jahre 189 durch M. Fulvius besetzt wird (Livius XXXVIII 29), immer ihre nominelle Autonomie behauptet hat (Cephallania Zacynthus utraque libera Plin. IV 54). Der Beschluss παραπέμψαι δὲ αὐτοὺς ἐν Ἰθάκαν nur hier (Z. 36): Ithaka (Psephisma Nr. 36) als Dependence von Kephallenia schon Od. ω 355. 378. 429 und Il. B. 631; vgl. Apollodor bei Strabo X p. 452 ff. und v. Wilamowitz Hom. Unters. S. 73.

14 vgl. [Apollodor] Biblioth. I 7, 3, 3 Αἴολος δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων — — παῖδας μὲν ἐγέννησεν ἑπτά, Κρηθέα Σίσυφον Ἀθάμαντα Σαλμωνέα Δηΐονα Μάγνητα Περιήρην, 9, 2, 4 Δηΐων δὲ βασιλεύων τῆς Φωκίδος Διομήδην τὴν Ξούθου γαμεῖ, καὶ αὐτῷ γίνεται — — Κέφαλος.

34 Der Name Σίμακος nur noch auf einer Grabinschrift in Kephallenia: Σίμακε χαῖρε CIG. Sept. III 614.

39 Thukyd. II 30 κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα τετράπολις οὖσα, Παλῆς Κράνιοι Σαμαῖοι Προνναῖοι. Polyb. V 3, 4 Παλαιῶν πόλις. CIG II 1929 ἡ βουλὴ καὶ ὁ δῆμος Παλείων. CIA III 481 ἡ πόλις Παλέων τῆς Κεφαλ(λ)ηνίας. — CIA II 17 B 12 Κεφαλλήνων Πρῶννοι. Ebenso die Münzen. Πρώνιοι Lyc. 789. Πρόννοι nur Polyb. V 3, 3. Also ist es wahrscheinlich, dass hier Πρῶννοι stand.

36. Mehrfach Löcher vor der Schrift.

Ἐπ]ὶ δαμιοργῶν Ἀρνίσκο[υ .... Τ]ιμάνορος — — — — — — — Ἀναξιλάου τοῦ Κλεομήδεος, [ἐκκλησία ἐν] τῶι Ὀδυσσεί[ωι, γραμματέος Ἀγλαοτέλεος· ἐπειδὴ Μάγνητες ο[ἱ ἀ]π[ὸ Μα]ιάνδρου οἰκεῖοι ὄντε[ς] κ[αὶ φίλοι τᾶς πόλιος τῶν Ἰθάκων πρεσβευ[τ]ὰς [ἀπ]οστείλαντες τοὺς δὲ αὐ[τοὺς καὶ ἐπαγγελτῆρας Σωσικλῆν Διοκλέος, Ἀριστόδαμον Διοκλέος, Διό[τιμον Μηνοφίλου, οἵτινες τό τε ψάφισμα ἀπέδωκαν καὶ αὐτοὶ ἀπελογίξαντο τάν τε τᾶς Ἀρτέμιδος ἐπιφάνειαν καὶ τὰς γεγενημένας ὑπὸ τῶν προγόνων αὐτῶν ἐν τοὺς Ἕλλανας εὐεργεσίας καὶ ἐν τὸ ἱερὸν τὸ ἐν Δελφοῖς διά τε τῶν χρησμῶν καὶ διὰ τῶν ποιητᾶν καὶ διὰ τῶν ψαφισμάτων τῶν ὑπαρχόντων αὐτοῖς παρὰ ταῖς πολίοις καλῶν τε καὶ ἐνδόξων, παρανέγνωσαν δὲ καὶ τὸν χρησμόν, ἐν ὧι κατακεχωρισμένον ἦν, λώιον εἶμεν καὶ ἄμεινον τοῖς σεβομένοις Ἄρτεμιν Λευκοφρυηνὰν καὶ τὰμ πόλιν καὶ τὰγ χώραν ἱερὰν καὶ ἄσυλον νομιζόντοις, δεδόχθαι τᾶι ἐκκλησίαι· ἐπαινέσαι μὲν τὸν δᾶμον τὸμ Μαγνήτων ἐπί τε τᾶι ποτὶ τοὺς θεοὺς εὐσεβείαι καὶ ἐπὶ τᾶι ποτὶ τοὺς Ἕλλανας καλοκἀγαθίαι καὶ καλεῖν τὸν δᾶμον τὸμ Μαγνήτων ἐν τὰν προεδρίαν τοῖς Ὀδυσσείοις, εἶμεν δὲ αὐτῶν τάν τε πόλιν καὶ τὰν χώραν ἱερὰν καὶ ἄσυλον, καθὼς ὁ Ἀπόλλων ὁ ἐν Δελφοῖς ἀνιέρωσεν, δέχεσθαι δὲ καὶ τὰν θυσίαν καὶ τὸν ἀγῶνα, ὃν τίθεντι τᾶι Ἀρτέμιδι τᾶι Λευκοφρυηνᾶι στεφανίταν ἰσοπύθιον ταῖς τιμαῖς, δόμεν δὲ καὶ ἐν ἀπαρχὰν τᾶι θεᾶι δραχμὰς ἐπιχωρίας δεκαπέντε καὶ τὸ ἐνέστιον θῦμ]α οἶν, καλέσαι δὲ αὐτοὺς καὶ ἐπὶ ξένια ἐπὶ τὰν πάτριον ἑστίαν, ἑλέσθαι δὲ καὶ θεαροδόκον τὸν ὑποδεξούμενον τὰς ἀεὶ παραγινομένα[ς θεαρίας παρὰ τῶμ Μαγνήτων. — ἁιρέθη Ἱγέρτας Πραΰλου. — ἐπαινέσαι δὲ τόν τε ἀρχιθέαρον Σωσικλῆν καὶ τοὺς θεαροὺς Ἀριστόδαμον Διότιμον ἐπί τε τᾶι ὑπὲρ τᾶς αὐτῶν πατρίδος φιλοτιμίαι καὶ ἐπὶ τᾶι σπουδᾶι τοῦ μολεῖν ποθ᾽ ἁμέ, καὶ εἶμεν αὐτοὺς προξένους καὶ εὐεργέτας τᾶς πόλιος τῶν Ἰθάκων καὶ ὑπάρχειν αὐτοῖς παρὰ τᾶς πόλιος πάντα τὰ φιλάνθρωπα ὅσα καὶ τοῖς ἄλλοις προξένοις καὶ εὐεργέταις ὑπάρχει, ἀναγράψαι δὲ τόδε τὸ ψάφισμα ἐστάλας δύο καὶ ἀναθέμεν τὰμ μὲν ἐν τῶι [Ὀδ]υσσείωι, τὰν δὲ ἐν τῶι ἱερῶι τᾶς Ἀθανᾶς, ὁ δὲ ἐπιδαμιοργὸς Σωτίων τὰν ἐπιμέλειαν ποιησάσθω.

23 Ἱγέρτας sicher; man erwartet Ἐγέρτας. Psephisma von Ithaka.

Das erste Psephisma der Insel. Vgl. die Bemerkungen zu Nr. 35.

37.

— — — — ἄρ]χοντος ἐπὶ τῆ[ς Ἱππ]οθωντίδος πέμπτης πρυτανεία]ς· Ἀρχικλῆ[ς Χ]αριδήμου Ἐρχιεὺς ἐγραμμάτευε· βου]λῆς ψήφισμα· Πυανοψιῶνος ἕκτει ἱσταμένου· ἑβ]δόμε[ι] τῆς πρυτανείας· βουλεῖ ἐμ βουλευτηρίωι· τῶμ προέδρων ἐπεψήφιζεν Εὔβιος Νικάνορος Φαληρεὺς καὶ συμπρόεδροι· Ἀγαθοκλῆς Διοφάνου Δεκελεεὺς εἶπεν· ἐπειδὴ Μάγνητες οἱ ἐπὶ Μαιάνδρωι οἰκεῖοι καὶ φίλοι τοῦ δήμου τοῦ Ἀθηναίων ὄντες ψηφισάμενοι θυσίαν καὶ ἀγῶνα στεφανίτην ἰσοπύθιον μουσικὸν καὶ ἱππικὸν καὶ γυμνικὸν συντελεῖν τεῖ ἀρχηγέτιδι τῆς πόλεως αὐτῶν Ἀρτέμιδι Λευκοφρυηνῆι ἀφεστάλκασιν θεωροὺς Ἀπολλοφάνην Αἰσχύλου, Εὔβουλον Ἀναξαγόρου, Λυκομήδην Χαρισίου οἳ προσελθόντες πρὸς

τὴν βουλὴν καὶ τὸν δῆμον ἀνενεώσαντο τήν τε προϋπάρχουσαν ταῖς πόλεσιν οἰκειότητα καὶ φιλίαν καὶ ἀπολογισάμενοι τὴν τῆς θεᾶς ἐπιφάνειαν παρεκάλεσαν μετὰ πάσης σπουδῆς καὶ φιλοτιμίας ἀποδέξασθαι τὸν ἀγῶνα στεφανίτην ἰσοπύθιον, ὃν τιθέασιν τεῖ Ἀρτέμιδι τεῖ Λευκοφρυηνεῖ, καὶ τὴν πόλιν αὐτῶν καὶ τὴν χώραν ἱερὰν καὶ ἄσυλον ἀποδεῖξαι, καθότι αὐτοῖς καὶ ὁ θεὸς ὁ ἐν Δελφοῖς ἔχρησεν· ἵνα οὖν καὶ ὁ δῆμος φανερὸς ἦι ἐμ παντὶ καιρῶι τιμῶν τὸ θεῖον καὶ τὴν οἰκειότητα καὶ τὴμ φιλίαν τηρῶν τὴμ πρὸς Μάγνητας, ἀγαθεῖ τύχει δέδοχθαι τεῖ βουλεῖ, τοὺς προέδρους οἳ ἂν λάχωσιν εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν χρηματίσαι περὶ τούτων, γνώμην δὲ ξυμβαλέσθαι τῆς βουλῆς εἰς τὸν δῆμον, ὅτι δοκεῖ τ[ε]ῖ βουλεῖ δέχεσθαι τὸν δῆμον καὶ νῦν καὶ εἰς τὸμ μετὰ ταῦτα χρ̣όνον τάς τε σπονδὰς καὶ τὰς θυσίας καὶ τὸν ἀγῶνα ὃν τιθέασιμ Μάγνητες τεῖ Ἀρτέμιδι τεῖ Λευκοφρυηνεῖ στεφανίτην ἰσοπύθιον, καὶ τὴν πόλιν αὐτῶν καὶ τὴν χώραν ἱερὰν καὶ ἄσυλον εἶναι κατὰ τὰς τοῦ θεοῦ μαντείας, ἐπαινέσαι δὲ καὶ τὸν δῆμον τὸμ Μαγνήτων καὶ στεφανῶσαι θαλλοῦ στεφάνωι εὐσεβείας ἕνεκεν, ἐπαινέσαι δὲ καὶ τοὺς παραγεγονότας θεωροὺς Ἀπολλοφάνην Εὔβουλον Λυκομήδην καὶ στεφανῶσαι ἕκαστον αὐτῶν θαλλοῦ στεφάνωι εὐσεβείας ἕνεκεν τῆς εἰς τὴν θεὰν καὶ τῆς εἰς τὴν πατρίδα φιλοτιμίας, καλέσαι δὲ αὐτοὺς καὶ ἐπὶ ξένια εἰς τὸ πρυτανεῖον εἰς αὔριον, ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα τὸγ γραμματέα τὸγ κατὰ πρυτανείαν ἐν στήληι λιθίνηι καὶ στῆσαι ἐν τῶι ἱερῶι, τὸ δὲ γινόμενον ἀνήλωμα εἰς τὴμ ποίησιν τῆς στήλης καὶ τὴν ἀνάθεσιν μερίσαι τὸν ταμίαν καὶ τοὺς ἐπὶ τεῖ διοικήσει.

4 βουλεῖ ἐμ βουλευτηρίωι falsch für βουλὴ ἐμ βουλευτηρίωι.

Psephisma von Athen.

Keine der hier genannten Personen ist bekannt. In der Datierung ist ein Fehler vorhanden, da der 95. Tag des Jahres nie der siebente der fünften Prytanie sein kann. Entweder ist der Name des Monats falsch, oder es muss πέμπτης statt τετάρτης verschrieben sein. Das führt auf 12 Phylen und Gemeinjahr. Der Beschluss fiele dann nach 200, was sehr wenig wahrscheinlich ist, da dieselben Gesandten auch zu Philipp V reisen (vgl. Nr. 47).

39 ἐν τῶι ἱερῶι. Der Name des Besitzers dieses Heiligtums ist aus Unachtsamkeit des Protokollführers oder des Steinmetzen weggelassen worden. Ein Tempel der Artemis Leukophryene ist für Athen nicht bezeugt, sondern nur ihr von den Söhnen des Themistokles auf der Burg errichtetes Bild; vgl. Pausanias Zeugn. Nr. XLII.

---

38. Von Z. 41 an neue Columne. Mehrfach Löcher vor der Schrift. Erwähnt von F. Hiller von Gaertringen bei Pauly-Wissowa Realencycl. II 1, 1135. Dittenberger und Purgold Inschr. von Olympia S. 798.

Πρεσβευτᾶν καὶ θεα̣[ρῶν π]α̣[ρ]α̣γετο[νότων] π[αρὰ τῶι δάμωι τῶμ Μαγνήτων τῶν ἐπὶ Μαιάνδρου Φιλίσκ[ωι τῶι Πυθαγόρωι, Κόνωνος τῶι Διονυσίωι, Λαμπέτωι τῶ[ι Πυθαγόραι καὶ ἀποδόντων τὸ ψάφισμα, ἱν οἷ κατεκεχ[ώριστο ὁ χρησμὸς ὁ γεγονὼς ὑπὸ τοῖ Ἀπόλλωνι τοῖ ἰν Δε[λφοῖς, λώιον ἶμεν καὶ ἄμεινον τοῖς σεβομένοις Ἄρτεμιν Λευκοφρυηνὰν καὶ τὰν πόλιν καὶ τὰν χώραν ἱερὰν καὶ ἄσυλον νομίζοσιν καὶ περὶ τῶν λοιπῶν πάνσιν δια-

λεχθέσσι, καθὰ εἶχον τὰς ἰντολὰς παρὰ τᾶι ἰδίαι πόλι (κ)αὶ ἁρμοζόντοις τοῖς ἰν τοῖ⟨ς⟩ ψαφίσματι γεγραμμένοις, ἰνιφάνιζον δὲ καὶ τὰν τᾶς θεᾶς ἐπιφάνειαν καὶ τὰν γεγονῶσαν ὑπὸ τοῖς προγόνοις ἰν τοὶς Ἕλλανας εὐχρηστίας καὶ παρακαλέντως, ὡς ἀποδέχηται ἁ πόλις τὰν πανάγυριν καὶ ἐκεχειρίαν καὶ τὸν ἀγῶνα στεφανίταν ἰσοπύθι[ο]ν τόν τε μου[σικ]ὸν καὶ γυμνικὸν καὶ ἱππικόν, τὸν τιθεῖ τᾶι Ἀρτέμιδι τᾶι Λευκοφρυηνᾶι ὁ δᾶμος τῶμ Μαγνήτων, καὶ τὰν πόλιν καὶ τὰν χώραν αὐτῶν ἱερὰν καὶ ἄσυλον εἶναι, τᾶι δὲ πόλι τᾶι ἁμετέραι πάτριόν ἐστιν μάλιστα μὲν τὰς τᾶν θεᾶν τιμὰς συν[α]ύξειν, ἔπειτα δὲ καὶ τοὺς συγγενέας καὶ φίλος ἀντευεργετῆν ἰν τὸ ἀπροφασίστος φαίνεσθαι εἶναι φίλος πρὸς πάντας τὸς καὶ ἁμὲ ἐαρημένος, τῶν δὲ Μαγνήτων τῶν ἀπὺ Μαιάνδροι ἐκ παλαιῶν μὲν χρόνως ἔχοντες εὐνόως πρὸς ἅμμε, συμφανὲς δὲ ποιησάντων τὰν ἔχοιεν ἐκτένειαν καὶ αἵρεσιν, ἀνάκα παρεγένετο πὸς αὐτὸς πρεσβεύοντες Πρόξενος Ἄγις Ἀριστοπάμων· εὐνόως τε γὰρ πος[ε]δέξαντο οἱ Μάγνητες καὶ ἔδωκαν ἰν τὸν τειχισμὸν τᾶς πόλιος Δαρεεικὸς τριακοσίος, τὸς ἐκόμισεν Ἀγαμήστωρ, διὸ ἁ πόλις μεμναμένα τᾶς τε συγγενείας καὶ φιλίας καὶ πάντων τῶν γεγονότων εὐγνωμόνων ὑπὸ τᾶι πόλι τᾶι Μαγνήτων ἀποδέχεται τὰ[ς θυσίας τᾶς Ἀρτέμιδος τᾶς Λευκοφρυηνᾶς καὶ τὰν ἐκεχηρίαν καὶ τὸς ἀγῶνας στεφανίτας ἰσοπυθίος τόν τε μουσικὸν καὶ γυμνικὸν καὶ ἱππικόν, τὸν ποίενσι οἱ Μάγνητες, δικαίαν ἀποδιδόντες χάριν τᾶι εὐεργέτιδι καὶ καθαγεμόνι τᾶς πόλιος, καὶ τὰν πόλιν καὶ τὰν χώραν εἶναι αὐτῶν ἱεράν, καθὼς ὁ θεὸς ἔχρησεν καὶ ἀξίοσι[ν οἱ παραγεγονότες πρεσβευταὶ καὶ θεωροί· τοῖς θεωροῖς τοῖς ἐπαγγέλλοσι τὰν θυσίαν καὶ ἐκεχηρίαν τᾶς Ἀρτέμιδος τᾶς Λευκοφρυηνᾶς δότω Σθενόλας ὁ ταμίας .... συμφόροις ἰνίσ[τιον], καὶ τὰ ἰν τοῖς ν]όμο[ις γεγρα]μμένα ἦν δίδοσθαι, τὰ ἴσα γραψάτω ἰν τ]ὰν θεωρίαν, ἰν δὲ τὸ λοιπὸν τί δεῖ δίδοσθαι ταινὶ τᾶι θεαρίαι ἰνίσ[τ]ιον ἐγεκέχειρον, οἱ νομογράφοι οἱ ἰν τᾶι ἐπὶ Λυκίν[ου] ἐτείαι γράψαντες ἐπιδειξάντων τᾶι πόλει, ὡς οἱ πολῖται βωλεύσανται περὶ τοινί· χωρασάντων δὲ οἱ νομογράφοι ἰν τοὶς νόμος καὶ ταννὺν τὰ[ν ἐ]κεχειρίαν, καὶ τὸς ἀγῶνας τοσνὺν γραψάντων πὸς τὸς ἄλλος στεφανίτας, ὡς συμφανὲς γίνητα[ι τ]οῖς Μάγνησιν, ὅτι ἁ πόλις τάς τε τῶν θεῶν θυσίας συναύξει καὶ τὰ ὑπὸ τοῖς συγγενέσι καὶ φίλοις καὶ [εὐ]νοίοις ἀξιωμένα ὑπακούει· θεαροδόκος κατεστάθη Νικήρατος Ἀρκεσίλου· ἐδόθη τοῖς θεαροῖς ἐπὶ τὰν κοινὰν ἱστίαν τᾶς πόλιος θῦσαι οἷς καὶ τᾶι θεοῖ ὅσον καὶ αὐτοὶ διδοῦσι καὶ ξένια τοῖς θεαροῖς τὰ ἐκ τῶν νόμων αὐθαμέραν.

Ἀκολούθως δὲ ἔδοξεν ψηφίσασθαι
καὶ τοῖς ἄλλοις Ἀρκάσιν·

Τεγεάταις	Ὀρχομενίοις
Μεθυδριεῦσιν	Καφυιεῦσιν
Στυμφαλίοις	Φλεασίοις
Κλειτορίοις	Φενεάταις
Πελλανεῦσιν	Φιαλεῦσιν
Ἡραιεῦσιν	Ἀλεάταις
Ψωφιδίοις	Κυναιθεῦσιν
Θελφουσίοις	Καρυννεῦσιν
Λουσιάταις	Τριταιεῦσιν.

10 ΛΙΤΑΙΑΡΜΟΞΟΝΤΟΙΣΤΟΙΣΙΝΤΟΙΣΨΑΦΙΣΜΑΤΙ 43 Der Raum scheint für diese Ergänzung um drei Buchstaben zu knapp zu sein; also war da vielleicht ein Fehler.

Fehler des magnetischen Schreibers, der den arkadischen Dialect oft nicht verstanden hat: 3 Πυθαγόρωι für Πυθαγόραυ 4 Πυθαγόραι 8 περὶ τῶν λοιπῶν für περὶ τοῖς λοιποῖς 10 ἁρμοζόντοις für ἁρμοζόντως 11 ἰνιφάνιζον für ἰνεφάνιζον 12 τοὶς für τὸς 13 παρακαλέντως für παρακαλέντων 18 εἶναι für ἶμεν (vgl. 6) 20 τοὺς für τὸς 21 εἶναι für ἶμεν 22 ἐαρημένος für ἀιρημένος oder ἀραιρημένος? 23 Μαιάνδροι für Μαιάνδρω, χρόνως für χρόνων 38 θεωροὶ und θεωροῖς für θεαροὶ und θεαροῖς 43 θεωρίαν für θεαρίαν 46 βωλεύσανται für βωλεύσωνται 48 ἰν τοὶς νόμος für ἰν τὸς νόμος, ταννὺν für ταννὶν 49 τοσνὺν für τοσνὶν 56 διδοῦσι für δίδονσι. Ausserdem an vielen Stellen falsches Jota im Genetiv. Aber die Vorlage war auch flüchtig gemacht: 9 διαλεχθέσσι für διαλεχθέντων 23 ἔχοντες für ἐχόντων.

Psephisma von Megalopolis.

Dass dieses Psephisma von Megalopolis gegeben ist, beweist der Z. 27 erwähnte τειχισμός, mit dem wegen der 300 Dareiken nur ein Ereignis vor dem Sturze des Perserreiches, also die Gründung von Megalopolis im Jahre 370 gemeint sein kann. Die Subscription lehrt die Existenz eines von Achaia gesonderten Bundes der Arkader, die für diese Zeit unbekannt war. Nach Ausweis dieser Liste fehlt Mantineia-Antigoneia, das also achaiisch gewesen sein muss. Dagegen umfasst der Bund aber Phigaleia, Psophis, Phleius und sogar die altachaiischen Städte Tritaia und Pellana. Die beiden erstgenannten Orte waren erst im Bundesgenossenkriege den Aitolern und Eleern (Polyb. IV 79. 72) abgenommen worden. Tritaia ist während eines olympischen Festes arkadisch gewesen, da das Epigramm des Siegers Agesarchos aus Tritaia ihn Arkader nannte, was Pausanias VI 12, 8. 9 ganz unverständlich findet. In demselben Schriftsteller findet sich II 12,3 (ὅτι μὲν Ἀρκάσι Φλιάσιοι προςήκουσιν οὐδέν, δηλοῖ τὰ ἐς τὸν Ἀρκάδων κατάλογον τῆς Ὁμήρου ποιήσεως, ὅτι οὐκ εἰσιν Ἀρκάσι καὶ οὗτοι συγκατειλεγμένοι) eine dunkle Spur von Phlius als arkadischer Stadt. Wenn mit Pellana hier auch sicher nicht die lakonische Stadt gemeint ist, so darf man aber doch nicht mit F. Hiller v. Gaertringen bei Pauly-Wissowa Realenc. II 1, 1135 das von Paus. VI 8, 5 erwähnte, in Olympia (Nr. 17, 4) wiedergefundene Epigramm auf den Sieger Φίλιππος Ἀζὰν ἐκ Πελλάνας in diese Zeit setzen: dagegen spricht der Schriftcharakter der olympischen Inschrift, die noch in die letzten Jahrzehnte des IV. Jhdts. gehört (Dittenberger-Purgold S. 302. 798). Da Philopoimen i. J. 207 das achaiische Heer reformiert, muss die Zeit der Entfremdung Arkadiens vom achaiischen Bunde damals schon wieder überwunden sein. Aber älter kann der Beschluss auch nicht sein, vgl. zu Nr. 16.

39. Auf den Unterstein von Z. 45 an übergreifend. Mehrfach Löcher vor der Schrift.

Πρεσβευτᾶ καὶ θεαροῦ παραγενο[μένου παρὰ τᾶς πόλιος τῶ(ν) Μαγνήτων τῶν ποτὶ τῶ[ι Μαιάνδρωι Φιλίσκου τοῦ Πυθαγόρα ποτὶ τὸ κοιν[ὸν τῶν Ἀχαιῶν καὶ ἀποδόντος τὸ ψάφισμα, ἐν ὧ[ι κατακεχώριστο ὁ χρησμὸς ὁ γεγενημένος ὑπὸ τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς λώιον εἶμεν κα[ὶ ἄμεινον τοῖς σεβομένοις Ἄρτεμιν Λευκοφρ[υανὰν καὶ τὰν πόλιν καὶ τὰν χώραν ἱερὰν καὶ [ἄ]συλον νομίζουσιν, διαλεγέντος δὲ καὶ τὰ λοιπὰ ἀκολούθως τοῖς ἐν τῶι ψαφίσματι κατακεχωρισμένοις καὶ ἀξίως τᾶς τε πόλιος τᾶς ἀποστειλάσας καὶ τοῦ κοινοῦ τῶν Ἀχαιῶν καὶ ἐμφανίζοντος τὰν τᾶς θεοῦ ἐπιφάνειαν καὶ τὰς γεγε-

νημένας ὑπὸ τῶν προγόνων εὐχρηστίας ποτὶ το[ὺς] Ἕλλανας καὶ παρακαλοῦντος τοὺς Ἀχαιοὺς ἀπ[οδ]έξασθαι τὰν πανάγυριν καὶ ἐκεχειρίαν καὶ τὸν ἀγῶ[να] στεφανίταν ἰσοπύθιον τόν τε μουσικὸν καὶ γυμνικὸν καὶ ἱππικόν, ὃν τίθεντι τᾶι Ἀρτέμιδι τᾶι Λευκο[φ]ρ[υ]ανᾶι, καὶ τὰν πόλιν καὶ τὰν χώραν αὐτῶν ἱερὰν καὶ ἄσυλον, [κ]αὶ διότι ἐπακολουθήσαντες τοῖς ἀξιουμένοις καὶ συναυξ[ήσαντες τᾶς Ἀρτέμιδος τὰς τιμὰς ἀκόλουθ[α πράξοντι τᾶι τε τοῦ θεοῦ μαντείαι καὶ τῶν προ[γεγενημένων ποθ' αὐτοὺς φιλανθρώπων, τοῖς δ[ὲ Ἀχαιοῖς πάτριόν ἐστι συναύξειν τάς τε τιμὰς τὰς παρ' ἑκάστοις ὅσοι καὶ τοῖς Ἀχαιοῖς συν[αύξοντι· δεδόχθαι τοῖς Ἀχαιοῖς ἀποδέξασθ[αι τάν τε θυσίαν καὶ τὸν ἀγῶνα στεφανίταν ἰσοπύθιον, ὃν τίθητι ἁ πόλις τῶν Μαγνήτων τᾶι Ἀ[ρτέμιδι τᾶι Λευκοφρυηνᾶι, καὶ τὰν πόλιν καὶ τὰν χώραν αὐτῶν εἶμεν ἱερὰν καὶ ἄσυλο[ν, καθὼς παρεκάλει Φιλίσκος ὁ ἀποσταλεὶς π[ρ]εσβευτὰς καὶ θεωρὸς, τοὺς δὲ δαμιοργοὺς τῶν [Ἀχαιῶν ἀναγράψαι τὸ ψάφισμα τὸ παρὰ τᾶς π[όλιος τῶν Μαγνήτων καὶ τὸ δόγμα τῶν Ἀχαιῶν εἰς στάλαν λιθίναν καὶ ἀναθέμεν εἰς τὸ ἱερὸν τοῦ Διὸς τοῦ Ἀμαρίου, ὅπως φανερὸν ἦι καὶ τοῖς λοιποῖς Ἕλλασιν, διότι οἱ Ἀχαιοὶ τοῖς ποτὶ τὸ θεῖον εὐσεβῶς διακειμένοις τὰν αὐτὰν αἵρεσιν ἔχοντες διατελέοντι ἀκόλουθα πράσσοντες τᾶι τῶν προγόνων αἱρέσει, ἇι θέλοντι προάγειν καὶ συναύξειν τά τε ἔνδοξα καὶ τὰς τιμὰς τὰς παρ' ἐκ[άστοις τῶν φίλων· καταχωρίξαι δὲ κα[ὶ] τοὺς νομ[ογράφους τὸ δόγμα τῶν Ἀχα[ιῶ]ν εἰς [τοὺς ν]όμο[υς τοὺς πρώτους ....υς .... μ[...... χρηματίξαι τοῖς Ἀχα[ιοῖ]ς, δόμε[ν δὲ καὶ] ξένια τῶι [πρεσβευτᾶι Διοκλῆ τὸν ταμίαν τὰ μέγιστα ἐκ τῶν νόμ[ων.

Ὁμοίως δὲ ἀπεδέξαντο καὶ Ἠλεῖοι.

2 ΤΩΙΜΑΓΝΗΤΩΝ 30 Z. 8. 19 steht Λευκοφρυανᾶι. Psephisma der Achaier.

Ohne Praescript wie auch Nr. 38. 40—43; müsste heissen: ἔδοξε τῶι κοινῶι τῶν Ἀχαιῶν, s. die von Cyriacus abgeschriebene Inschrift aus Aigion Dittenberger Sylloge Nr. 182 (2. Hälfte des III. Jhdts.). Die Entsendung eines Gesandten an die Achaier lehrt, dass der Bund damals stark geschwächt war; vgl. die Subscription von Nr. 38 und die Bemerkungen dazu. Argos damals im achaiischen Bunde: Nr. 40.

40.

.... Μαγνή]των τᾶι βουλ[ᾶι καὶ τῶι δάμωι χαίρειν· οἱ παρ' ὑ]μῶν πρεσβευταὶ καὶ θεαροὶ παραγενόμενοι Φ]ιλίσκος Πυθαγόρου, Κόνων Διονυσίου, Λάμπετο]ς Πυθαγόρου τό τε ψάφισμα ἀπέδωκαν τῶι δά]μωι καὶ αὐτοὶ διελέγεν ἀκολούθως τοῖς ἐν τῶι] ψαφίσματι κατακεχωρισμένοις πε-

ρὶ τοῦ ἀγῶνο]ς [τ]ῶν Λευκοφρυηνῶν· ὑπογεγράφαμες οὖν ὑμῖν τὸ ἀντίγραφον τοῦ ψαφίσματος τοῦ δοχθέντος τῶι δάμωι. ἔρρωσθε.

Πρεσβευτᾶν παραγενομένων παρὰ τοῦ δάμου τῶμ Μαγνήτων τῶν πρὸς τῶι Μαιάνδρωι Φιλίσκου τοῦ Πυθαγόρου, Κόνωνος τοῦ Διονυσίου, Λαμπέτου τοῦ Πυθαγόρου καὶ ἀποδόντων τὸ ψάφισμα καὶ διαλεγέντων ἀκολούθως τοῖς γεγραμμένοις ἔδοξε τῶι δάμωι συντελεῖν τὰν θυσίαν κοινᾶι μετὰ τῶν Ἀχαιῶν, ἂν συντελεῖ ὁ δᾶμος ὁ τῶν Μαγνήτων τῶμ πρὸς τῶι Μαιάνδρωι τᾶι Ἀρτέμιδι τᾶι Λευκοφρυηνᾶι, δοθῆμεν δέ, παρὰ τῶν ταμιᾶν καὶ ἐνεκέχειρα τοῖς ἐπαγγέλλονσι ὅσον καὶ τοῖς τὰ Νέμεα ἐπαγγέλλοσσι δίδοται.

19 der Nasal ist hier assimiliert.
Brief und Psephisma von Argos.
Argos im achaiischen Bunde: μετὰ τῶν Ἀχαιῶν Z. 15. Im J. 200 überrascht Philippos V eine Versammlung des achaiischen Bundes in Argos Liv. XXXI 25. Psephismen aus Argos mit Praescript sind aus hellenistischer Zeit nicht erhalten.

41. Unter Nr. 40. Am Anfang von Z. 4 war wahrscheinlich ein Loch vor der Schrift.

Παρὰ] Σικυωνίων·

Πρεσβευτᾶ]ν καὶ θεαρῶν παραγενομένων παρὰ τῶν Μαγνήτων] Φιλίσκου Κόνωνος Λαμπέτου καὶ ἀνανεουμένων τὰν οἰκειότατα τὰν ὑπάρχουσαν αὐτοῖς ποτὶ τὰν πόλιν καὶ τὰν φιλίαν καὶ ἐπανγελλόντων τᾶι Ἀρτέμιδι τᾶι ἀρχαγέτιδι αὐτῶν τᾶι Λευκοφρυηνᾶι τὰν θυσίαν καὶ πανάγυριν καὶ ἐκεχειρίαν καὶ ἀγῶνα στεφανίταν [ἰ]σο[π]ύθιον μουσικόν τε καὶ γυμνικὸν καὶ ἱππικόν, δεδόχθαι τῶ[ι δά]μωι· ἀποδέξασθαι τὰν θυσίαν κα[ὶ τ]ὰν πα[νάγυ]ριν καὶ [τὰ]ν ἐκεχειρίαν, ἃν συντελοῦντι οἱ [Μάγ]νητες κατὰ τὸ μαντεῖον τᾶι Ἀρτέμιδι τᾶι Λευκοφρυ[ηνᾶ]ι, ε[ἶ]μεν δὲ τὸν ἀγῶνα στεφανίταν ἰσοπύθιο[ν] τόν [τε] μ[ουσικὸ]ν [κ]αὶ γυμνικὸν καὶ ἱππικόν, καὶ τὰ ἄθλ[α καὶ τὰς τιμὰς τοῖς] νικῶσι τοὺς ἀγῶνας ὅσα καὶ τῶν [Π]υ[θί]ων γέ[γραπται], κ[α]θὼς καὶ οἱ Ἀχαιοὶ ἀποδεδεγμένοι ἔντ[ι], δ[ό]μ[εν δὲ κα]ὶ ἐνεκέχειρα τοῖς θεαροῖς τὸν γροφῆ τᾶς βωλ[ᾶς] τ[ὰ ἐ]κ τᾶν πινακίδων, καταστᾶσαι δὲ θε]αροδόκον· ὁ θεαρο[δ]όκος Γόργος Μενεκλεί[ο]υς.

Κατὰ τὰ] α[ὐ]τὰ δὲ ἐψη]φίσαντο·

— — — — Κα]λλισταιεῖς.

Psephisma von Sikyon.
Die Gegend um Sikyon ist im J. 208 der Schauplatz des Krieges zwischen P. Sulpicius und Philipp V (Liv. XXVII 31). Mit den Καλλισταιεῖς sind wohl die Ἀχαιοὶ Καλλιστᾶται der Münzen gemeint (Clerk Catalogue of the coins of the Achaean league 1895, 25, 57). Psephismen von Sikyon sind sonst nicht erhalten.

42. In Z. 15—17 ein Loch vor der Schrift.

Πρεσβευτᾶ παραγενομένου καὶ θεωροῦ παρὰ τοῦ δάμου τῶμ Μαγνήτων τῶν ἐπὶ Μαιάνδρου Λαμπέτου τοῦ Πυθαγόρου καὶ ἀποδόντος τὸ ψάφισμα καὶ διαλεγο-

μένου ἀκολούθως τοῖς ἐν τῶι ψαφίσματι καταγεγραμμένοις καὶ ἀνανεουμένου τὰν οἰκειότατα καὶ φιλίαν τὰν προϋπάρχουσαν καὶ παρακαλοῦντος ἀποδέξασθαι τὰν πόλιν τῶν Κορινθίων τὰν θυσίαν καὶ τὰν ἐκεχειρίαν καὶ τοὺς ἀγῶνας, οὓς τίθητι ἁ πόλις ἁ τῶν Μαγνήτων τᾶι Ἀρτέμιτι τᾶι Λευκοφρυηνᾶι τόν τε μουσικὸν καὶ τὸν γυμνικὸν καὶ ἱππικὸν ἰσοπύθιον· ἔδοξε τᾶι ἐκκλησί[αι]· ἀποδέξασθαι τὰν ἐκεχειρίαν καὶ τοὺς ἀγῶνας ἰσοπυθίους, καθὰ παρακαλεῖ, καὶ δόμεν ἐνεκέχηρον καὶ ἐνέστιον καὶ ξένια τῶι ἐπαγγέλλοντι, ἃ καὶ αὐτοὶ δίδοντι τοῖς τὰ Ἴσθμια ἐπαγγέλλουσι· δεδόχθαι δὲ καὶ τὰν πόλιν καὶ τὰν χώραν αὐτῶν ἱερὰν καὶ ἄσυλον εἶμεν κατὰ τὸν χρησμὸν τοῦ θεοῦ κατὰ τὸ ψάφισμα, ὃ ἀπέδωκεν τᾶι πόλει, ἑλέσθα[ι] δὲ καὶ θεαροδόκον· ᾑρέθη Πανταίνετος Μν[α]σικλείδα.

Psephisma von Korinth.

Psephismen von Korinth sind sonst nicht erhalten.

---

43. Unter Nr. 42; von Z. 23 an auf den Unterstein übergreifend.

Παρὰ Μεσσηνίων·

Ἐπειδὴ παραγενόμενοι πρεσβευταὶ παρὰ Μαγνήτων τῶν ἐπὶ Μαιάνδρου Φιλίσκος Πυθαγόρου, Κόνων Διονυσίου, Λάμπετος Πυθαγόρου ἐνεφάνιζον τάν τε οἰκειότατα καὶ τὰν φιλίαν τὰν προϋπάρχουσαν ποτὶ τὸ κοινὸν τῶμ Μεσσανίων καὶ ἀπέδωκαν τὸ ψάφισμα, ἐν] ὧι κατεκεχώριστο ὁ χρησμὸς ὁ γενόμενος ὑπὸ τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς, λῶιον εἶμεν καὶ ἄμεινον τοῖς σεβομένοις Ἄρτεμιν Λευκοφρυηνὰν καὶ τὰν πόλιν καὶ τὰν χώραν ἱερὰν καὶ ἄσυλον νομίζοντι, κα[ὶ π]ερὶ τῶν λοιπῶν πάντων διαλεχθέντων, καθὰ εἶ[χον τὰς ἐντολὰς παρὰ τᾶς ἰδίας πόλεως ἁρμοζό[ν]τ[ως τοῖ]ς ἐν τῶι ψαφίσματι καταγεγραμμένοις, ἐνεφά[νιζον δὲ καὶ τὰν τᾶς θεᾶς ἐπιφάνειαν καὶ τὰς γεγενημένας ὑπὸ τῶν προγόνων ἐς τοὺς Ἕλλανας εὐχρηστίας, καὶ παρακαλούντων, ὅπως ἀποδέξηται τὸ κοινὸ[ν τῶμ Μεσσανίων τὰν πανάγυριν καὶ ἐκεχειρίαν κ[αὶ τὸν ἀγῶνα στεφανίταν ἰσοπύθιον τόν τε μ[ουσικὸν καὶ γυμνικὸν καὶ ἱππικόν, ὃν τίθητι τ[ᾶι Ἀρτέμιτι τᾶι Λευκοφρυηνᾶι ὁ δᾶ]μος τῶμ Μαγν[ήτων, καὶ τὰν πόλιν καὶ τὰν χώραν αὐτῶ]ν ἱερὰν καὶ ἄ[συλον εἶμεν, τᾶι δὲ πόλει τᾶι ἁμετέραι πάτ]ριόν ἐστι μάλ[ιστα μὲν τὰς τῶν θεῶν [τιμὰς συναύξειν, ἔπειτα δὲ καὶ τοὺς συγγενέας καὶ] [φίλους — — — — — — — — — — — — — — — — — — — ι καὶ το — — — — — — — δέχεσθαι τὰ]ς [θυσίας] τᾶς Ἀρτέμιτος τᾶς [Λευκοφρυηνᾶς καὶ τὰ]ν ἐκεχ[ειρί]αν καὶ τοὺς ἀγῶνας στ[εφανίτας ἰσ]ο[π]υθίως τόν τε μουσικὸν καὶ γυμνικὸν κα[ὶ ἱππικόν, οὓ]ς ποιόντι οἱ Μάγνητες, καθὼς ὁ θεὸς ἔχρησε[ν·

τοῖς δὲ θε]αροῖς τοῖς ἐπαγγελλόντοις τὰν θυσίαν καὶ ἐκεχειρίαν] τᾶς Ἀρτέμιτος τᾶς Λευκοφρυηνᾶς δόντων οἱ ταμίαι, ὅσα καὶ τοῖς τὰ Πύθια ἐπαγγελλόντοις.

10 νουίζοντι Fehler des magnetischen Schreibers für νομιζόντοις 11 διαλεχθέντων und 16 παρακαλούντων Nachlässigkeit des messenischen Kanzlisten statt der directen Erzählung. 25 am Anfang fehlen 28–30 Buchstaben; καὶ το Lesung sicher.

Psephisma der Messenier.

Ohne Praescript wie Le Bas-Foucart Mégar. et Pélopon. Nr. 328 a (Ende d. III. Jhdts): ἐπειδὴ παραγενόμενο]ι πρεσβε[υ]ταὶ καὶ διαλυ[ταὶ παρὰ τῶν Αἰτωλῶν — ἔδοξε τᾷ [πόλι τῶν Μ]εσ(σ)ανίων. Ein Ehrendecret (aus welcher Zeit?), das in der Nähe des alten Pherai gefunden ist, beginnt: Κατ]ὰ [τὴν] σ[υ]ναρχίαν καθὰ καὶ οἱ γέροντες ἐπέκρειναν· ἐπειδὴ Ἀγέδα[μος? κτλ. E. Pernice Athen. Mitth. XIX (1894) S. 361.

---

44. Von Z. 43 an auf dem Unterstein; mehrfach Löcher vor der Schrift.

Παρὰ Κορκυραίων·

Ἐπὶ πρυτάνιος Ἀνθρωπίσκου μηνὸς Φοινικαίου ἁμέραι πέμπτα(ι) ἐπ' εἰκάδι, προστάτας προβούλων Μνάσων Στράτωνος· ἀγαθᾶι τύχαι. ἐπειδὴ ἁ πόλις ἁ τῶμ Μαγνήτων πρὸς τῶι Μαιάνδρωι ὑπαρχούσας οἰκειότατος αὐτᾶι ποτὶ τὰν πόλιν τῶγ Κορκυραίων θυσίαν τε ποιεῖν ἐψάφισται κατὰ τὰν τοῦ Ἀπόλλωνος μαντείαν τᾶι Ἀρτέμιτι τᾶι Λευκοφρυηνᾶι καὶ πανάγυριν διὰ πενταετηρίδος καὶ ἀγῶνα μουσικὸν καὶ ἱππικὸν καὶ γυμνικὸν στεφανίταν ἰσοπύθιον ταῖς τιμαῖς καὶ ἀπέσταλκε πρεσβευτὰς καὶ θιαροὺς Σωσικλῆ⟨ι⟩ Διοκλέος, Ἀριστόδαμον Διοκλέος, Διότιμον Μηνοφίλου, οἳ ποτελθόντες ποτὶ τὰν ἐπείσκλητον τό τε ψάφισμα ἀπέδωκαν τὸ παρὰ Μαγνήτων καὶ ἀπελογίξαντο τάν τε τᾶς θεᾶς ἐπιφάνειαν καὶ τὰν ὑπάρχουσαν οἰκειότατα ταῖς πόλεσιν καὶ τὰς γεγενημένας ὑπὸ τῶν προγόνων αὐτῶν εὐεργεσίας εἴς τε τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ εἰς τοὺς Ἕλλανας διά τε τῶν τοῦ θεοῦ χρησμῶν καὶ διὰ τῶν ποιητᾶν καὶ διὰ τῶν ψαφισμάτων τῶν ὑπαρχόντων αὐτοῖς παρὰ ταῖς πόλεσιν καλῶν καὶ ἐνδόξων, παρεκάλουν τε καὶ ᾤοντο δεῖν παραδεξαμένους, καθὼς καὶ αἱ λοιπαὶ πόλιες αἱ Ἑλλανίδες, μετέχειν τᾶς τε θυσίας καὶ τοῦ ἀγῶνος καὶ ἀποστέλλειν θιαρούς, ἐπεί κα ἑκαστάκις ὁ χρόνος περιίκῃ τᾶς π[ε]νταετηρίδος, τοὺς κοινωνησοῦντας τᾶς τε θυσίας καὶ τῶν λοιπῶν τιμίων παρ' αὐτοῖς, δεδόχθαι τοῖς Κορκυραίοις· παραδέξασθαι τάν τε θυσίαν καὶ τὸν ἀγῶνα τᾶς Ἀρτέμιτος τᾶς Λευκοφρυηνᾶς στεφανίταν ἰσοπύθιον ταῖς τιμαῖς, ὃν τίθητι ἁ πόλις ἁ τῶν Μαγνήτων, καὶ τοῖς νικῶσι τῶν πολιτᾶν τὰς αὐτὰς εἶμεν τιμὰς παρὰ τᾶς πόλιος, ἃς καὶ τοῖς τὰ Πύθια νικῶσιν· ἀποκρίνασθαι δὲ τοῖς πρεσβευταῖς καὶ θιαροῖς διότι ἁ πόλις ἁ τῶν Κορκυραίων αὐτά τε τιμῶσα διατελεῖ τὰν Ἄρτεμιν θυσίαις, καθὼς αὐτᾶι πάτριόν ἐστιν, καὶ Μάγνησι δὲ τοῖς παρακαλοῦσιν ἐπὶ ταῦτα προθύμως ἐπακολουθεῖ καὶ συναύξει τὰς τιμὰς τὰς ποτιγινομένας τᾶι θεῶι· ὅπως δὲ καὶ οἱ θιαροὶ αἱρεθῶντι καὶ ἀποσταλῶντι εἰς τ[ὸ]ν καιρὸν τὸν δέοντα, προβούλους τοὺς γενομένους ἐν ἀρχᾶι κατὰ τὸν χρόνον τὸν συνίκοντα ἐπιμεληθῆμεν ὡς ἂν ἀποσταλῶντι, εἴ κα δυνατὸν ἦι τᾶι πόλει, δόμεν δὲ τοῖς τε νῦν παροῦσι θιαροῖς ἱερεῖον ἐνίστιον τέλειον καὶ ἐκέχειρον εἴς τε τὰν θυσίαν καὶ τἆλλα τὰ νομιζόμενα ἀργυρίου Κορινθίου δραχμὰς ἑκατὸν πεντήκοντα, [ἐ]πεί κα τὰν ἐπαγγελίαν τοῦ ἀγῶνος ποιήσωνται, ὁμοίως δὲ καὶ τοῖς ἄλλοις ἀεὶ τοῖς παραγινομένοις, περὶ δὲ πάντων τούτων γράψαι τοὺς ἁιρημένους νομοθέτας καὶ κατατάξαι ἐς τοὺς ἱεροὺς νόμους· εἶμεν δὲ αὐτῶν τάν τε πόλιν καὶ τὰγ χώραν ἱερὰν καὶ ἄσυλον κατὰ τὸν τοῦ θεοῦ χρησμόν· ἐπαινέ-

σαι [δὲ] καὶ τὸν ἀρχιθέωρον Σωσικλῆ⟨ι⟩ καὶ τοὺς θιαροὺς Ἀριστόδαμον Διότι]μον εὐσεβείας ἕνεκεν τᾶς εἰς τὰν θεὸν καὶ τᾶς εἰς τὰν πατρίδα φι]λοτιμίας, ὑπάρχειν δὲ καὶ προξενίαν αὐτοῖς καὶ ἐκγόνοις, καλέσαι δὲ κα[ὶ αὐτοὺς] ἐν τὸ πρυτανεῖον, εἶμεν δὲ καὶ θιαροδόκον Κλείδικον Ἀλεξικλέ[ος τὸν παραδε]ξούμε[νον τὰς ἀ]εὶ παρ[αγιν]ομένας θιαρίας παρὰ Μαγνήτων, τ[ὸ δὲ ψάφισμ[α ....]ν ἀναθέμεν πρὸ τοῦ πρυτανείου, τὸ δὲ .... γε]νόμενον ἀνάλωμα εἴς τε τὰν κατα —

Ἀ]κολού[θ]ως [δ]ὲ ἔ[δοξεν ψηφίσασθαι καὶ Ὠ[ρ]ικί[οις.

2 ΠΕΜΠΤΑΣ

Psephisma der Korkyraier. Eine korkyräische Urkunde mit ähnlichem Praescript aus dem II. Jhdt. v. Chr. CIG. Sept. III 694 Ἐπὶ σωτηρίαι. Πρυτανεύοντος Ἀριστομένεος, μηνὸς Μαχανέος τετάρτῃ ἐπὶ εἰκάδι. Z. 39 πόθοδον ποιησαμένων Ἀριστομένεος τοῦ Ἀριστολαΐδα καὶ Ψύλλας τ[ᾶς] Ἀλκίμου περὶ τοῦ ἀργυρίου οὗ ἔδωκαν τᾶι πόλει — — — ἔδοξε τᾶι βουλᾶι. Korkyra ist (desgleichen Orikos (Z. 46), Apollonia (Nr. 45), Epidamnos (Nr. 46)) seit 229 im Besitz der Römer (Polyb. II 11).

---

45. Von Z. 43 an auf den Unterstein übergreifend.

Παρὰ Ἀπολλωνιατῶν·

Πρυ[τ]α[νεύ]οντος Ἀριστομένεος, Ἀλοτροπίου τρίτα παραγενομένων πρεσβευτᾶν καὶ θεωρῶν παρὰ τᾶς πόλιος τῶν Μαγνήτων τῶν ἐπὶ Μαιάνδρου Σωσικλέος τοῦ Διοκλέος καὶ Ἀριστοδάμου τοῦ Διοκλέος καὶ Διοτίμου τοῦ Μηνοφίλου καὶ κομιξάντων ψάφισμα παρὰ τᾶς πόλιος, ἐν ὧι κατεκεχώριστο ὅ τε χρησμὸς ὁ παρὰ τοῦ θεοῦ τοῦ ἐν [Δ]ελφοῖς, ὅτι λώιον εἴη καὶ ἄμεινον τοῖς σεβομένοις Ἄρτεμιν Λευκοφρυ[η]νὰν καὶ τὰ[ν] πόλιν τῶν Μαγνήτων καὶ τὰν χώραν ἱ[ερ]ὰν κ[αὶ ἄ]σ[υ]λον νομίζουσιν, καὶ ὅτι ὁ δᾶμος τ[ῶ]ν Μα[γνήτω]ν ἐψάφισται τᾶι εὐεργέτιδι τᾶς πόλιος Ἀρ[τ]έμιδι Λευκοφρυηνᾶι διὰ πέντε ἐτέων θυσ]ίαν καὶ πανάγυριν καὶ ἐκεχειρίαν καὶ ἀγῶνα στεφανίταν ἰσοπύθιον μουσικόν τε καὶ γυμνικὸν καὶ ἱππικόν, διαλεχθέντων δὲ καὶ τῶν περὶ Σωσικλῆ ἀκολούθως τῶι ψαφίσματι καὶ ἐμφανιξάντων τάν τε τᾶς θεοῦ ἐπιφάνειαν καὶ τὰν οἰκειότατα Μαγνήτων καὶ Ἀπολλωνιατᾶν καὶ τὰς εὐεργε[σ]ίας τὰς προγεγενειμένας ὑπὸ τῶν προγόνων αὐ[τ]ῶν εἴς τε τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ εἰς τοὺς Ἕλλανας καὶ παρακαλούν[τ]ων ἀποδέξασθαι τὸ[ν ἀ]γῶνα καὶ συναύξειν τὰς [ἐψαφ]ισμένας τιμὰς [τ]ᾶι θεῶι, ἔδο[ξ]ε τῶι δάμωι τῶν Ἀπολλωνιατᾶν· ἀποδέξασθαι τὰ ἐπαγγελλόμενα παρὰ τῶν Μαγ[ν]ήτων καὶ τὰν πόλιν καὶ τὰν χώραν αὐτῶν ἱερὰν καὶ ἄσυλον νομίζειν καὶ τοῖς [ν]ικῶσι τῶν π[ολιτ]ᾶν τὸν ἀγῶνα τῶν Λευκοφρυ[η]νῶν [εἶ]μεν τ[ὰ]ς [αὐτὰς τιμὰς ἃς καὶ τοῖς τὰ Πύθια νι[κῶ]σιν, ἀ[ποστέλλειν

δὲ παρὰ τᾶς πόλιος καὶ θεωρο[ὺς εἰς Μαγνησί-α]ν ἐπὶ τὰν θυσίαν καὶ [τ]ὸν ἀγ[ῶνα ....ι τοὺς δὲ — [τα-μιειο................. ἐπὶ .... π]ρυτανείωι καὶ τὰ λοιπὰ ἃ καὶ [τοῖς τὰ Πύθια ἐ-παγγέλλουσιν καὶ καταταχθῆ[ναι ἐν το]ῖς νόμοις τόν τε ἀγῶνα καὶ τὰς τιμὰς τὰς ἐψαφισ-μένας, ἐπαινέσαι δὲ καὶ τοὺς θεωροὺς Σωσι-κλῆ⟨ι⟩ Ἀριστόδαμον Διότιμον ἐπί τε [τῶι δια-λεχθῆμεν ἀξ[ίω]ς ἀμφοτερᾶν τᾶν [πολίων [καὶ — — — — — — — — — — — — — — — — — προξέ]νους τᾶς Ἀπολ-λωνιατᾶν πόλιος, δόμεν δ' αὐτοῖς] καὶ ξένια τὰ μέγιστα ἐκ] τῶν [νόμων κα]ὶ [κλ]ηθῆμεν αὐτο[ὺς εἰς τὸ πρ]υτανεῖο[ν εἰς] τὰν [κ]οινὰν ἑστίαν· θεαροδόκ]ον εἶμεν Μ[αγν]ήτων Ἵππανθον Φ —, τοὺς δὲ ταμίας ἐπιμέλειαν π[οιήσ]ασ[θαι, ὅπως ἀναγρα]φῆ εἰς χάλκωμα τὸ ψάφισμ[α καὶ ἀνατεθῆ εἰς τὸ] ἱερὸν τοῦ Ἀπόλλωνος.

Von Z. 48 und 49 an muss eine Anzahl Buchstaben noch auf den rechts folgenden, stark verscheuerten Stein übergegriffen haben, da die bisherige Zeilenlänge nicht reicht. Ebenso muss Z. 46 ΥΣ bereits auf dem anderen Stein gestanden haben, vielleicht auch Z. 47 noch ein Teil von θεαροδόκον.

Psephisma der epidamnischen Apolloniaten.

Apollonia ist von 229 an im Besitz der Römer: Polyb. II 11 vgl. zu Nr. 44. Psephismen aus Apollonia sind sonst nicht erhalten.

---

46. Von Z. 44 an auf den Unterstein übergreifend. Von Z. 30 an stark abgescheuert. Vgl. Kern Gründungsgeschichte S. 26; Kern und Wendland Beiträge zur Geschichte der griech. Philosophie und Religion S. 87.

Παρὰ Ἐπιδαμνίων·

..........................λακρ.............φῶντος μη[ν]ὸς Ἁλι[ο-τροπίου· [ἐπειδὴ Μ]άγ[νητες] οἱ ἐπὶ Μαι[ά]νδρ[ου] συγγ[ενεῖς] ὄντες καὶ φίλοι τῶν Ἐπι-δαμνίων εὐ[σεβ]έως [διακείμ]ενοι ποτὶ τὸ θεῖον κα[ὶ τὰ κάλ]λιστα αἰρ[ούμ]ενοι τῶ[ν κατ' ἀνθρώπο[υς] ἀφεστά[λκα]ντ[ι] πρεσβευτὰς τ[ο]ὺς δὲ αὐ[τοὺ]ς καὶ θια[ρ]οὺς Σωσικ[λῆ Διοκλέος, Ἀρι[σ]τ[όδαμ]ον Διοκλ[έ]ος, Διότιμον Μηνοφί[λου, ο]ἳ ποτελθόντες ποτὶ τὰν βουλὰν καὶ [τὸν] δᾶμ[ον ἁμῶν τὸ ψά]φισμα ἀπέδωκα[ν καὶ αὐτ]οὶ διελέχθην μετὰ πά-σας φ[ι]λοτιμία[ς]ἐμφανίξ[αντες τὰν] τᾶς Ἀρτέμι[δος ἐπιφάν]ειαν καὶ τὰν γεγενημέν[α]ν βοάθειαν ὑπὸ τ[ῶ]ν π[ρ]ο[γόνων α]ὐτῶν [εἰ]ς τὸ ἱερὸν τὸ ἐν Δελφ[οῖς], νικασάντων μάχαι τοὺς βαρ[β]άρους το[ὺ]ς ἐπιστ[ρατεύ]σαντας ἐπὶ διαρπαγᾶι τῶ[ν το]ῦ [θ]εοῦ χρημάτων, καὶ τὰν εὐε[ργ]εσίαν, ἃν [συ]νετελέσαντο εἰς τὸ κοινὸ[ν] τῶν Κρηταιέ[ων] δι[α]λύσαντες τὸν ἐμφύλι-ον πόλεμον, ἐνεφάνιξαν δὲ καὶ τὰς εἰς τοὺς ἄλλους [Ἕλ]λανας γεγενημένας εὐε[ρ]γεσίας διά τε τῶν τοῦ θεοῦ χρησμῶν καὶ διὰ τῶ[ν π]οιητᾶν καὶ διὰ τῶν ἱ[σ-τορ[ι]αγράφων τῶν συγγεγραφότ[ων] τὰς Μαγνήτων πρ[άξ]ει[ς], παρανέγνωσαν δὲ καὶ τὰ ψαφίσματ[α] τὰ ὑπάρχοντα αὐτοῖς παρὰ ταῖς πόλ[ε]σιν, ἐν οἷς ἦν καταγε-γραμμ[έ]ναι τιμαί τ[ε] καὶ στέφαν[ο]ι εἰς δόξαν ἀνίκοντα (τᾶι) [πό]λ[ε]ι, τοῦ θεοῦ τοῦ ἐν Δε[λ]φοῖς χρήσαντος λῶιον εἶμ[εν καὶ ἄ]μεινον τοῖς σε[βομέ]νοις Ἄρτεμιν Λευκο-φ[ρυ]ηνὰν καὶ τὰν πόλιν καὶ τὰγ χώραν τ[ῶ]μ [Μαγ]νήτων ἱ[ερὰν κ]αὶ ἄσυλον νομιζόν-τ[ε]σσι, τὸν δᾶμον ἐψαφίσθαι τᾶι ἀρχαγέτιδι τᾶς πόλιος [Ἀρ]τέμιτι συντελεῖν θυσ[ί-

α[ν] τε καὶ πανάγυριν καὶ ἀγῶνα στεφανίταν ἰσοπύθιον μου[σι]κόν τε καὶ γυμνικὸν κα[ὶ ἵ[π]πικόν, παρεκάλουν δὲ καὶ ἁμὲ ὄντας οἰκείους καὶ φίλους [ἀ]ποδέξασθαι τάν τε θ[υσί]αν καὶ τὰν ἐκεχ[ει]ρίαν καὶ τὸν ἀγῶνα στεφανίταν ἰσο[πύ]θιον ταῖς τιμαῖς, ἔ]δοξε τᾶι βουλᾶι καὶ τῶι δάμωι τῶι Ἐπιδαμνίων τύχ[αις] ἐπὶ ταῖς ἀρίσταις ἀπ[οκ]ρίνασθαι Μάγνησιν, ὅτι ὁ δᾶμος ὁ τῶν Ἐπιδαμνίων [αὐτ]ός τε ποτὶ τὸ θεῖον εὐσεβέως τυγχάνει διακείμενος, πάτριόν τέ ἐστιν αὐ[τῶι] καὶ τὰς τῶν οἰκείων τιμὰς συναύξειν, ἐπαιν[έσ]αι δὲ καὶ τ[ὸν] δᾶμον τὸμ Μαγ[νή]των ἐπί τε τᾶι ποτὶ τοὺς θεοὺς εὐσεβείαι καὶ ἐπὶ τ[ᾶ]ι ποτὶ τοὺς [Ἕλλαν]ας εὐνοί[αι] καὶ ἐπὶ τᾶι εὐεργεσίαι τᾶι τε εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ εἰ[ς] τ[οὺς] ἄλλους Ἕλλα[νας], δέχεσθαι δὲ καὶ τὸν ἀγῶνα, ὃν συντελοῦντ[ι] Μάγν[η]τες τᾶι Ἀρτέμι[τ]ι τ[ᾶ]ι Λ[ε]υκ[οφ]ρυηνᾶι στεφανίταν ἰσοπύθιο[ν .....] ποτι .... χι..ω....... θει... καὶ ὑπάρχειν τοῖς νικώντεσ[σι τοῦτον τὸν] ἀγ[ῶνα φιλάνθ]ρ[ωπα] ὅσα κ[αὶ τοῖς τὰ Πύ]θια [νικ].ντεσσι παρὰ τᾶς πόλιος δέδοται,] εἶμεν δ[ὲ τὰν πόλιν κα]ὶ τὰγ [χ]ώραν τὰ[ν Μαγ]ν[ήτ]ων ἱερὰν καὶ ἄσυλον, καθότ]ι ὁ Ἀπόλλων ὁ ἐν [Δελφοῖ]ς ἔχρησεν, ἐπαινέ[σαι δὲ τ]όν τε ἀρχιθέωρον Σωσικλῆ] καὶ τοὺς [θ]αρούς Ἀριστόδαμον Διότιμο[ν ἐπί τ]ε τᾶι ὑπὲρ τᾶς πατρίδος φιλο]τιμί[αι καὶ] ἀ[ναστροφᾶι] ἆι ἐποιήσαν[το ἀξ]ίως ἀμφοτερᾶν τᾶν πολίων καὶ εἶμεν] δ[ὲ αὐτ]οὺς προξένους κα[ὶ εὐεργ]έτας τᾶς πόλιος τῶν Ἐπιδαμνίων· ὅπως δὲ τὰ ἐψηφισ]μένα μετὰ τᾶς τῶν θε[ῶν εὐ]νοίας νῦν τε καὶ εἰς τὸν ἀεὶ] χρό[νον ἐπ' ἀγαθῶι συντ]ελῆται τῶι [τ]ε Μα[γνήτων] καὶ Ἐπιδαμνίων, τὸμ πρύ[τα]νιν [............ τᾶ]ι Ἀρτέμιτι τᾶι Λε[υκοφρυη]νᾶι καὶ τᾶι Ἑστίαι, καλέσαι δ' α[ὐτοὺς εἰς τὸ πρυταν]εῖο[ν ἐ]πὶ τὰν κοινὰν ἑστ[ίαν], ἱερεῖον θῦσαι ἐφέστ[ιον ......σ[.........τὰ σ]κέλη καὶ τὸ νάκος καὶ ἐ[νεκέχηρον] ἀργυρίου Κορινθίου — — — — — — — ἀργυ]ρίου ἡμιμναῖον, ...ι δὲ καὶ τὰ κατάλοιπα — — — — — — — — — — νεισδ .... ἐς καιρὸν ἧι τὰν συν .... α ....ἀγῶνος — — — — — — — — — — — — — ....ἐ]γ Μαγνησίας ἄξια γίνηται τᾶμ [π]ολίω[ν ἀμφ]οτερᾶν θεωρ — .... ἀ]ναγράψαι δὲ καὶ τὸ ψάφισμα ἐμ βουλευτηρίωι.

Psephisma von Epidamnos.

Psephismen von Epidamnos sind sonst nicht erhalten.

2 Φα]λακρ[ίωνος? Βα]λάκρ[ου?

9 Es ist der grosse Galliereinfall des Jahres 279/8 gemeint: Pausan. X 20, 5 von den gegen die Galater kämpfenden Hellenen: βασιλέων δὲ ξενικὰ πεντακόσιοί τε ἐκ Μακεδονίας καὶ ἐκ τῆς Ἀσίας ἴσοι σφίσιν ἀφίκοντο ἀριθμόν· ἄρχοντες δὲ τῶν μὲν παρ' Ἀντιγόνου πεμφθέντων Ἀριστόδημος ἦν Μακεδών, τῶν δὲ παρὰ Ἀντιόχου τε καὶ ἐκ τῆς Ἀσίας Τελέσαρχος τῶν ἐπὶ Ὀρόντῃ Σύρων. Vgl. H. Pomtow Jahrb. f. class. Philol. 1896 S. 757 und Felix Stähelin Geschichte der Kleinasiatischen Galater bis zur Errichtung der römischen Provinz Asia Baseler Dissertation 1897 S. 6.

47.

Οἱ στρατ]ηγο[ὶ] εἶπαν [περὶ ὧν ὁ β]ασιλεὺς Φίλι[π]πος ἔγρα[ψε]ν τῆι βουλῆι κ[αὶ τῶι] δήμ[ωι] περὶ [Μ]αγνήτων τῶν ἐπὶ Μαιάνδρωι, οἳ [σ]υγγενεῖς ὄντες Μακεδόνων ἠξίουσαν τ[ὸν] ἀγῶν[α ὃ]ν τιθέασι [τῆι] Ἀ[ρτ]έμιδι τῆι Λευκοφρυηνῆι προσ[δέξα]σθαι στεφανίτην· αὐτὸν μὲν οὖν ὑπα[κ]ηκόεναι, [τ]αὐ[τὸ] δὲ ποιήσειν κα[ὶ] τοὺς πολίτας προσ[δ]εξαμ[ένους] τοὺς ἄνδρας τοὺς ἀπεσταλμένους ὑπὲρ τούτ[ων]· ἀκολούθως δὲ καὶ οἱ ἡιρημένοι ὑπὸ Μαγνήτων περὶ τῆς ἐπαγγελίας τοῦ ἀγῶνος Ἀπολλοφάνης Αἰσχύλου Εὔβουλ[ος] Ἀναξαγόρου Λυκομήδης Χ[α]ρισίου πρόσοδον ποιη[σ]άμενοι καὶ τὸ ψήφισμα ἀποδόντες καὶ ἀπολογισάμενοι τήν τε τῆς θεᾶς ἐπιφάνειαν καὶ τὰς γεγενημένας

ὑπὸ τῆς πατρίδος εὐχρηστίας εἰς τοὺς Ἕλληνας παρεκάλουν ἀποδεξαμένους τοὺς πολίτας συναύξειν τὰς ἐψ[ηφ]ισμένας τιμὰς τῆι Ἀρτέμιδι τῆι Λευκοφρυηνῆι· περὶ δὴ τούτων [δε]δόχθαι τῆι βουλῆι καὶ τῶι δήμωι· ἀποδέξασθαι τὸν ἀγῶνα τῶν Λευκοφρυηνῶν, ὃν τιθέασι Μάγνητες ο[ἱ] ἐπὶ Μαιάνδρου τῆι Ἀρτέμιδι τῆι Λευκοφρυηνῆι στε[φα]νίτην ἰσοπύθιον, καθάπερ οἱ ἀπεσταλμένοι ὑπ' [α]ὐ[τῶν θ]εωροὶ ἐπαγγέλλουσιν, καὶ τοῖς νικήσασιν Χαλκ[ι]δ[έων τ]ὸν ἀγῶνα τοῦτον διδόναι τὰ ἴσα ἆθλα, ὅσαπερ κ[αὶ] το[ῖς τ]ὰ Πύθια νικήσασιν ἐκ τοῦ νόμου καθήκε[ι] δίδοσθ[αι], ἀποστέλλεσθαι δὲ καὶ θεωροὺς παρὰ τῆς πόλεως, ὅτ[αν] καθήκωσιν οἱ ἀγῶνες τ]ῶν Λευκοφ[ρυ]ηνῶν, δίδο[σ]θ[αι] δ[ὲ] τὴν ἀπαρχὴν τοῖς ἀποστελλομένοις θεωροῖς παρὰ [Μ]αγνήτων τὴν ἐκ τοῦ νόμου.

Psephisma von Chalkis.
Chalkis im Besitz König Philipps; also nicht nach 199 v. Chr. Ps. von Chalkis aus dem ersten Drittel des II. Jhdts. veröffentlicht von Ad. Wilhelm Ἐφημερὶς ἀρχαιολ. 1892 S. 170 Nr. 68: Μικυθίων Μικυλίωνος [εἶπεν.] ἐπ[ει]δὴ Χαρίδαμος Δημητ[ρίου κτλ. — — δεδόχθαι τῆι βουλῆι κα]ὶ τῶι δήμωι | [ἐπαινέσαι μὲν Χαρίδαμον ἐ]πὶ τῆι αἱρ[έ]σει κτλ.]

---

48. Aus zwei Stücken zusammengesetzt. Nicht in situ gefunden; Stelle aber sicher, da die rechte Hälfte von Nr. 47 auf demselben Stein steht. Die ersten Zeilen sind stark abgescheuert.

Ἐ]π[ὶ] στρατηγοῦ — — — — — — — — ἐπειδὴ] Μάγ[ν]ητες οἱ ἐπὶ Μαιάνδ[ρου φίλοι καὶ οἰκεῖοι ὑπ]ά[ρχοντες ἐκ π]ρογόνων τοῦ δή[μου τοῦ Ἐρετριέων — — ἀπεστάλκασι] ψήφισμα καὶ θεωροὺς Ἀπολλ[οφ]ά[νη]ν Αἰσχύλου, Ε[ὔβου]λον Ἀναξα[γόρου, Λυκομήδην Χαρισίο[υ, οἵτ]ινες παραγενόμενοι ἀνεν(ε)ώσα[ντο τὴν οἰκειότητα τὴν π[ρο]ϋπάρχουσαν καὶ ἀπελογίσαντο τὴ[ν τῆς θεᾶς Ἀρτέμιδος Λευ[κο]φρυηνῆς ἐπιφάνειαν καὶ τὰς γεγενημένας [εἰς τοὺς Ἕλληνας [ὑπὸ] τῶν προγόνων εὐεργεσίας καὶ παρεκάλουν [φιλοτίμως ἀποδέξασθα[ι τὸ]ν ἀγῶνα στεφανίτην ἰσοπύθιον, ὃν τιθέασιν τῆι Ἀρτέμιδι τῆι Λευκοφ[ρυη]νῆι, καὶ τὴν πόλιν αὐτῶν καὶ τὴν χώραν ἱερὰ[ν καὶ ἄσυλον εἶναι, κ[αθό]τι αὐτοῖς καὶ ὁ θεὸς ὁ ἐν Δελφοῖς ἔχρησ[εν,] πά[τριον δ' ἐστὶν Ἐρετρ[ιεῦ]σιν τά τε πρὸς τὸ θεῖον εὐσεβῶς διακεῖσθαι [καὶ μάλιστα πρὸς τὴν Ἄρτε[μιν] καὶ τὴν οἰκειότητα τὴν ὑπάρχουσαν πρὸς [τοὺς Μάγνητας διαφυλά[σσει]ν· περὶ δὴ τούτων ἔδοξεν τῆι βουλῆι καὶ τῶι [δήμωι· ἀποδέξασθα[ι τὸν] ἀγῶνα τῆς Ἀρτέμιδος τῆς Λευκ[οφρυη]νῆς στεφανίτην ἰσοπύθιον [καὶ τ]ὴν πόλιν καὶ τὴν χώραν αὐτῶν ἱε[ρ]ὰν καὶ [ἄ]συλον εἶναι, καθὰ καὶ ὁ [θεὸς ἔχ]ρησεν, εἶναι δὲ καὶ τὰ ἆθλα καὶ τὰς [τ]ιμάς, καθάπερ καὶ τοῖς [τὰ Π]ύθια νικῶσιν ὑπάρχει, ἀποστέλλειν δὲ καὶ θ[εωροὺς καὶ θυσίαν ἐ[πὶ τ]ὸν ἀγῶνα, ἐπαινέσαι δὲ καὶ τὸν δῆμον τὸμ [Μαγνήτων ἐπὶ τῆι εὐ[σε]βείαι τῆι πρὸς τὸ θεῖον, στεφανῶσαι δὲ καὶ το[ὺ]ς θεωροὺς θαλλοῦ [στ]εφάνωι φιλοτιμίας καὶ σπουδῆς ἕνεκεν, ἧς πεποίηνται περί τε τῶν θ[ε]ῶν καὶ τῶν πολιτῶν, καὶ εἶναι αὐτούς τε καὶ ἐκγόνους αὐτῶν προξέ[ν]ους καὶ εὐεργέτας τοῦ δήμου τοῦ Ἐρετριέων, εἶναι δὲ αὐτοῖς καὶ γ[ῆ]ς [καὶ] οἰκίας ἔγκτησιν καὶ πρόσοδον πρὸς τὴν βουλὴν καὶ τὸν δῆμον, ἐάν [τι]νος δέωνται, πρώτοις μετὰ τὰ ἱερὰ καὶ προεδρίαν ἐμ πᾶσι τοῖς ἀγῶσι[ν], οἷς ἡ πόλις τίθησιν, καὶ ἀτέλειαν καὶ εἰσάγουσιν καὶ ἐξάγουσιν, καθάπε[ρ κ]αὶ τοῖς ἄλλοις Ἐρετριεῦσιν, εἶναι δὲ αὐτοῖς καὶ ἀσ-

φάλειαν καὶ ἀσυλί[αν] καὶ πολέμου καὶ εἰρήνης παραγινομένοις εἰς τὴν πόλιν καὶ τὴν χώρ[αν], ἐπιμελεῖσθαι δὲ αὐτῶν τοὺς ἄρχοντας τοὺς ἀ-ει ἐν ἀρχῆι ὄντας, ὅπως μηδ' ὑπ' ἑνὸς ἀδικῶνται, καλέσαι δὲ αὐτοὺς καὶ ἐπὶ ξένια εἰς τὸ πρυ[τα]νεῖον, ἑλέσθαι δὲ καὶ θεωροδόκον ἐκ πάντων Ἐρε-τριέων, ἀναγράψα[ι δὲ] τόδε τὸ [ψ]ήφισμα εἰς στήλην λιθίνην καὶ στῆσαι ἐν τῶι ἱερῶι τοῦ Ἀπό[λλω]νος τοῦ Δαφνηφόρου· [ἡ]ιρέθη θεωροδόκος Ἀρίστιππος Ἀρχί — —

Ὁμοίως δὲ [ἀπ]εδέξαντο Ἑστιαιεῖς.

5 ΑΝΕΝΗΩΣΑ

Psephisma der Eretrier.

Ein eretrisches Psephisma aus dieser Zeit ('vers 200')

Holleaux Revue des étud. grecqu. X (1897) 165 Nr. VII = CIG. II 2265.

13 Artemis Amarysia seit alter Zeit Hauptgöttin von Eretria; vgl. Stavropullos Ἐφημ. ἀρχαιολ. 1895, 155.

49.

92. Die Unterteile zweier viereckiger Basen aus dem dunkelblauen Marmor der Verkleidung des Zuschauerraums des Theaters, unten mit einem 0,17 (a) bez. 0,16 m hohen Profil versehen. H. 0,83 (a) bez. 0,81 (b); Br. 0,78; D. 0,685. Da die obere glatte Fläche beider Steine Gusskanäle hat, lag je ein zweiter vermutlich ebenso grosser Stein darauf, der das obere Profil und die Anfänge der Inschriften enthielt. Gefunden an den beiden vorderen Ecken des Zuschauerraums in der Orchestra, aber nicht mehr in situ; ihr ursprünglicher Standort liess sich aber vermittels der an ihrer Unterseite befindlichen Dübellöcher noch feststellen. Danach war die Schriftseite nicht nach dem Zuschauerraum, sondern nach der Orchestra gewandt. Den Standort veranschaulicht die in den Athen. Mitth. XIX (1894) S. 6 veröffentlichte Skizze. Buchstabenh. 0,01; Zeilenabst. 0,01. In Berlin.

a.

.... τ]ῆς πόλ[εως·] στῆσαι δὲ αὐ[τοῦ τὴμ μὲν ἑτέραν στήλην ἐν τῆι ἀγορᾶι, τὴν] δὲ ἑτέραν ἐν τῶι θεάτρωι, τὸ δὲ ἀ[νά]λωμ[α τὸ ἐσόμενον εἰς τὴν ἀνάστασιν] τῆς προεψηφισμένης εἰκόνος Ἀπολλοφάν[ει καὶ τὴν ἀναγραφὴν τῶν ψηφι]σμάτων ὑπηρετῆσαι τὸν ἀποδειχθησόμενον ἀν[τιγραφέα τῆς κατασκευῆς τ]οῦ θεάτρου ἐκ τῶμ προσόδων τῶν ἐψηφισμένων εἰς τὴ[ν κατασκευὴν τοῦ θεά]τρου, εἰσκηρύσσεσθαι δὲ αὐτὸγ καὶ εἰς προεδρίαν μετὰ [τῶν ἄλλων εὐεργετ]ῶν ἐν τοῖς ἀγῶσιν οὓς ἂν ὁ δῆμος συντελῆι, ἵνα πάντε[ς εἰδῶσιν ὡς ὁ δῆμ]ος εὐχάριστος ὢν τοῖς καλοῖς καὶ ἀγαθοῖς τῶν ἀνδρῶν κ[αὶ αὐτὸν εὐεργ]ετοῦσιν καταξίας χάριτας ἀποδίδωσιν τῶν εὐεργεσιῶν· τοὺς [δὲ προέδρους π]οιῆσαι ψηφοφορίαν κατὰ τὸν νόμον καὶ πάντων συντελεσθέντων, ὧ[ν ὁ νόμος] συντάσσει, κύρια εἶναι τὰ ἐψηφισμένα· ἀναγραφῆναι δὲ καὶ τόδε τὸ ψήφ[ισμα ἐς στή]λην λιθίνην καὶ στῆσαι παρὰ τὴν εἰκόνα τὴν ἐν τῆι ἀγορᾶι καὶ εἰς τὸ βῆμα τῆς εἰκ]όνος τῆς ἐν τῶι θεάτρωι· λελύσθαι δὲ καὶ εἴ τι ψήφισμα ἐναντίον ἐστὶ τῶιδε τ]ῶι ψηφίσματι κατ' αὐτὸ τοῦτο καθ' ὅ ἐστιν ἐναντίον. τῶμ προέδρωμ [ποιησάντ]ων τὴμ ψηφοφορίαν κατὰ τὸν νόμον ψῆφοι ἐπηνέχθησαν τετρα[κισχίλιαι ἑξ]ακόσιαι ἑβδομήκοντα ὀκτώ.

Erstes Ehrendekret für Apollophanes. Schrift des Anfangs des II. Jhdts. Die obere Hälfte mit dem Praescript und dem Anfange der Begründung fehlt. Apollophanes wird wegen eines zinslosen Vorschusses geehrt, den er für die κατασκευὴ τοῦ θεάτρου gewährt hat (vgl. b.). Über die bei dem Theater zu unterscheidenden verschiedenen Bauperioden vgl. Doerpfeld Athen. Mitth. a. a. O. S. 65 und Doerpfeld und Reisch Das griechische Theater S. 153.

b.

[— — — — — — Ἀπολλοφάνης Ἀπολλοφάνου — — — — — ὡμολόγησεν μετὰ τοῦ σ[υ]ναποδειχθέντος αὐτῶι ἐπὶ τῆς κατασκ[ευῆς τοῦ θεάτρου υἱοῦ Δημητρίου προεισενέγκας τὸ ἀργύριον ἄτοκον καθότι ἐπήγγε[ιλεν ὁ πατήρ· ἔπειτα ἐγλιπόντος αὐτοῦ τὸμ βίον καὶ μετὰ τὴν ἐκείνου τελευτὴν μεταλλάξ[αντος καὶ Μαιανδρίου, συντελεῖ Δημήτριος ὁ υἱὸς ὁ Ἀπολλοφάνου, ἀδελφιδοῦ[ς δὲ Μαιανδρίου, βουλόμενος ἐπὶ τέλος ἀγαγεῖν τὴν ἐπαγγελίαν τοῦ πατρός, [ἣν ὑπέσχετο τῶι δήμωι, προεισφέρων τὸ ἀργύριον ἄτοκον κατὰ τὴν τοῦ πατρὸς [ὑποδοχήν· ἵνα οὖν ἥ τε τοῦ δήμου μεγαλοψυχία καὶ εὐχαριστία πᾶσιν ἧι φανερ[ὰ τοῖς καλοῖς καὶ ἀγαθοῖς τῶν ἀνδρῶν καὶ φιλοδοξεῖν αἱρουμένοις καὶ Ἀπολλοφ[άνης ἀξίως τιμηθῆι τῶν εἰς τὸν δῆμον εὐεργεσιῶν, δεδόχθαι τῶι δήμωι· ἐπηνῆσθαι μὲν Ἀπολλοφάνην Ἀπολλοφάνου ἐπὶ τῆι προαιρέσει ἣν ἔσχεν εἰς τὴμ πατρίδα, στῆσαι δὲ αὐτοῦ καὶ εἰκόνα χαλκῆν ἐν τῶι ἐπιφανεστάτωι τόπωι τοῦ θεάτρου καὶ εἰσκηρύσσεσθαι αὐτὸν ἐν τοῖς ἀγῶσιν καθότι καὶ οἱ ἄλλοι εὐεργέται· τὸ δὲ ἀνάλωμα τὸ ἐσόμενον εἰς τὴν εἰκόνα ὑπηρετῆσαι Δημήτριον ἐκ τῶμ πόρων τῶν ἀποτεταγμένων εἰς τὴγ κατασκευὴν τοῦ θεάτρου τῶμ προσεψηφισμένων· τοὺς δὲ ἄρχοντας ποιῆσαι ψηφοφορίαν κατὰ τὸν νόμο[ν κ]αὶ πάντων συντελεσθέντων ὧν ὁ νόμος ἀγορεύει οὕτω κύρια εἶνα[ι τὰ] ἐψηφισμένα· τὸ] δὲ ψήφισμα τόδε ἀναγραφῆναι εἰς τὴμ βάσιν τῆς εἰκόνος τῆς Ἀ[πο]λλοφάνου, λελύσθαι δὲ καὶ εἴ τι ψήφισμά ἐστιν ἐναντίον τῶιδε τῶι ψηφίσματι κα[τ' αὐ]τὸ τοῦτο καθ' ὅ ἐστιν ἐναντίον. ψῆφοι ἐπηνέχθησαν δισχίλιαι ἑκατὸν δεκατρεῖς.

Zweites Ehrendekret für Apollophanes. Die obere Hälfte mit dem Praescript und dem Anfange der Begründung fehlt wie bei a. Schrift wie a. Apollophanes soll nach dem Tode eine neue Statue im Theater erhalten, deren Errichtung sein Sohn Demetrios übernimmt. Die Angabe der Stimmenzahl (a 15. b 19) findet sich nur noch Nr. 94 Z. 14.

93. Weisse Marmorquader mit Anschlussfläche oben und unten. H. 0,50; Br. 0,83; D. 0,83. Alle vier Seitenflächen tragen Inschriften. Buchstabenh. (a—c) etwa 0,01; Zeilenabst. (a—c) etwa 0,01. d hat grössere Buchstaben Z. 1. 2 : 0,03; Z. 3—16 etwa : 0,018 und grösseren Zeilenabstand Z. 1. 2 : 0,02; Z. 3—16 etwa 0,015. Gefunden an der Südwestecke der Agora. Da der Stein erst im November 1893 bei einer Nachlese von mir gefunden ist, musste er in Magnesia verbleiben. Die Umschrift erfolgte auf Grund einer Abschrift und mehrerer Abklatsche, die aber für a fast ganz versagten. Die Zeilenlänge scheint in a sehr verschieden gewesen zu sein.

a) .... ν δῆμος .... ε . . οσ — — — — — — — — — — — — . . . . . ἐσχηκὼς τὴν χώραν, ὅπως οἱ δικασταὶ προκ[ρ]ίν[ω]σι τοῖς Μυλ[ασ — — — — — — κατ?]αστήσωσιν, γράψαντος δὲ καὶ τοῦ στρατηγοῦ τοῦ Ῥωμαίων [Μαάρκου Αἰμυλίου πρὸς τ]ὴν ἡμετέραν πόλιν, ἵνα κριθῶμεν, καὶ πρὸς τὴν Μυλασέων πόλιν, [ἵνα ἀποστείλωσι δικαστήριον, καὶ τοῦ δήμου ἐξαποστείλαντος πρὸς Μυλασεῖς ἄνδρας καλ[οὺς καὶ ἀγαθοὺς ἐπὶ τ]ὴν αἴτησιν τοῦ δικαστηρίου, Μυλασεῖς ἀκόλουθα πράσσοντε[ς] τῆι [ὑπαρχούσηι περὶ ἑαυτοὺς καλοκἀγαθίαι καὶ βουλόμενοι κατακολουθεῖν τοῖς τε ὑπὸ [Ῥωμαίων καὶ ὑφ' ἡμῶν δεδογματισμένοις καὶ τῆι ἀπεσταλμένηι πρὸς αὐτοὺς ἐπ[ισ]τολ[ῆι ὑπακούσαντες ἐχειροτόνησαν δικαστὰς καλοὺς καὶ ἀγαθούς, οἳ καὶ ἐπελθόντες [ἐπὶ τὴν χώραν ἡμέρας καὶ πλείονας διήκουσαν παραχρῆμά τε ἐπὶ τῶν τόπων [καὶ μετὰ ταῦτα ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος τοῦ ἐμ Μυοῦντι· τῶν δὲ θεῶν μετὰ τῆς τοῦ σ[τρατηγοῦ δικαιοσύνης ἐπιτεθεικότων τέλος τῆι κρίσει καὶ νενικηκότος πάλιν τοῦ δή[μου ἡμῶν τὸν δῆμον τῶν Πριηνέων, καθῆκόν ἐστιν τοῖς τε ἐπιγινομένοις τὰ περὶ τούτων ὑπο[δ]ε[δογματισμένα φανερὰ ὑπάρχειν καὶ τὸ πλῆθος εὐχάριστον φαίνεσθαι πρὸς τοὺς καλοὺς καὶ [ἀ]γαθ[οὺς ἄνδρας, δεδόχθαι τῆι βουλῆι καὶ τῶι δήμωι· ἐπῃνῆσθαι τούς τε ἐγδίκους καὶ τοὺς . ε — — — — ἐπὶ τῶι προθύμως προ⟨σ⟩στῆναι ὑπὲρ τῶν τῆς πατρίδος δικαίων, [χειροτονηθῆναι δὲ ἄνδρα, ὃς μετὰ τοῦ ἀρχιτέκτονος Κρατίνου ἐγδώσει κα[τ]ασκευάσα[ι στήλην ἐκ λευκοῦ λίθου, ἣν καὶ στησάτω πλησίον τῆς προϋπαρχούση[ς] π[αραστάδ]ο[ς — — — καὶ ἀναγραψάτω τό τε ψήφισμα τόδε καὶ τὸ δόγμα τῆς συγκλήτου καὶ τὴν [ἐ]π[ιστ]ο[λὴν τ]ὴν γραφεῖσαν ὑπὸ Μαάρκου πρὸς Μυλασεῖς καὶ τὸ ψήφισμα καθ' ὃ [ἔκρινεν] Μ[υλασέων τὸ δικαστήριον καὶ τὴν Μυλασέων ἀπόκρισιν καὶ τὴν ἀπό[φασιν τῶν δικαστῶν καὶ τὰ ὀνόματα πατρόθεν τῶν τε δικαιολο[γ]ηθέντων . ε[. . . . . . . τῶν δι]κα[σ]τῶν καὶ τῶν ἐγδίκων, ὁμοίως δὲ καὶ τῶν δικαστοφυλακησάντων ἀνδρῶν ἐπειδὴ πάντες τὴν καθ'] αὐτοὺς χρείαν παρέσχοντο μετὰ πάσης σπουδῆς καὶ προθυμίας [— — καὶ στήλην κατασκευα[σάτω] χ(αλ)κῆν, ἣν καὶ στησάτω ἐπὶ τῆς παραστάδος τῆς νοτίας με(τ') ἐπιγραφῆς τῆσδε· "ὁ δῆμος νικήσας τὸ δεύτερον Πριηνεῖς τῆι ὑπὲρ τῆς χώρας κρί[σει ἐπὶ Μυλασέ]ων δικαστηρίου, ἐγδικησάντων τῶν ὑπογεγραμμένων [ἐγδίκ]ων καὶ ἐ............. π — — — δικαι Ἀρτέμιδι Λευκοφρυηνῆι" καταχρησάσθω [δὲ ὁ] χειροτονηθησόμεν[ος — — — — — — λοις εἰς τὴν παραστάδα, ὅθεν ἂν ὁ ἀρχιτέκτ[ω]ν πα[ρα]δη[λώσηι· τὸ δὲ ἀνάλωμα τὸ πρὸς ταῦτα προχορηγησάτω Παυσανίας ὁ νεωκόρος τῆς Ἀ[ρ]τέμιδος τῆς Λευκο[φρυηνῆς — λογισάσθω δὲ ἐκ τῶν ἐσομένων προσόδων ἐ[κ] τῆς ἱερᾶς χώρ[ας] πάσης τῆς — — — — — . ου ἀποκατασταθῆναι αὐτῶι πάντα τὰ π[ροχορηγ]ησόμ(ε)να — — — — — — — — — .... εο .... ροσ . ετοι — — — — — — — — — — — —

b) ..... δόγμα τὸ κομισθὲν παρ]ὰ τῆς συγκλήτου⟨υ⟩ Ῥω[μαίων — — — — — .... Μάαρκος Αἰμύλιος Μαάρκου [υἱὸς στρατηγὸς Μυλασέων βουλῆι καὶ δήμωι χαί]ρειν. Πρεσβευταὶ Μάγνητες κα[ὶ Πριηνεῖς — — — — .... σύγκλ]ητον δῶ⟨ι⟩, τούτοις ἐγὼ σύγκλητον ἔδ[ωκα — — — — — .... βρίων ἐγ κομετίωι· γραφομένου παρῆσ[αν — — — — — .... Φο?]ντήιος Κοΐγκτου Παπειρία Τίτος Μάλλιος Φα[βία? λέρνα? .... περὶ ὧν Μάγνη(τε)ς πρεσβευταὶ Πυθόδωρος Ἡράκλ[ειτος — ἄνδρες καλοὶ κἀγαθ]οὶ παρὰ δήμου καλοῦ καὶ ἀγαθοῦ καὶ φίλου συμ[μάχου τε ἡμετέ-

ρου κατὰ πρόσω]πον λόγους ἐποιήσαντο καὶ περὶ ὧν Πριηνεῖς πρε[σβευταὶ ....νης ἄνδρες καλοὶ καὶ ἀγαθοὶ καὶ φίλοι παρὰ δήμου καλοῦ κα[ὶ ἀγαθοῦ καὶ φίλ]ου σ[υ]μμάχου τε ἡμετέρου κατὰ πρόσωπον λόγους ἐποιήσαντο περὶ ἧς χώρας ἐξεχώρησαν Μάγνητες καὶ τὴν κατοχὴν ταύτης τῆς χώρας ἐξεχώ[ρησαν δήμωι Πριηνέων κατὰ τὸ τῆς συγκλήτου δόγμα ὅπως κριτήριον δοθῇ· περὶ το[ύτου τοῦ πράγματος οὕτως ἔδοξεν· ὅπως Μάαρκος Αἰμύλιος Μαάρκου υἱὸς στρατηγὸς δ[ῆμον ἐλε(ύ)θερον κριτὴν δῶι ὃς ἂν ἐν αὐτοῖς ὁμόλογος γενηθῇ· ἐὰν δὲ ἐν αὐτοῖς ὁμόλογος [μὴ γίνηται, ὅπως Μάαρκος Α(ἰ)μύλιος Μαάρκου υἱὸς στρατηγὸς δῆμον ἐλεύθερον κριτὴ[ν δῶι εἰς τούτους τοὺς λόγους οὕτως καθὼς ἂν αὐτῶι ἐκ τῶν δημοσίων πραγμάτω[ν πίστεώς τε τῆς ἰδίας φαίνηται· ἔδοξεν· ὃς κρινεῖ Μάγνησιν καὶ Πριηνεῦσιν περὶ ταύ[της τῆς χώρας τῆς παρὰ Πριηνέων ἀποκεκριμένης οὔσης, ἐξ ἧς χώρας Μάγνητ[ες ἑαυτοὺς ἔφασαν ἐκκεχωρηκέναι, ὁπότερον ἂν τούτων δήμων εὑρίσκηται ταύτην χώραν εἰσχηκέναι, ὅτε εἰς τὴν φιλίαν τοῦ δήμου τοῦ Ῥωμαίων παρεγένετο, ταύτη[ν τὴν χώραν ὅπως αὐτῶι προσκρίνῃ ὅριά τε στήσῃ· ἔδοξεν· ὡσαύτως περὶ ὧν οἱ αὐτοὶ Πριηνεῖς πρεσβευταὶ κατὰ πρόσωπον πρὸς Μάγνητας πρεσβευτὰς λόγους ἐποιήσαντο περὶ ἀδικημάτων ἃ αὐτοῖς Μάγνητες πεποιήκεισαν, περὶ τούτου πράγματος οὕτως ἔδοξεν, ὅπως Μάαρκος Αἰμύλιος Μαάρκου υἱὸς στρατηγὸς τὸν αὐτὸν δῆμον κρῖν]αι κελεύσ[ῃ] ὃς ἂν περὶ χώρας κριτὴς δεδομένος ᾖ, ὃς κρινεῖ ταῦτα ἀδικήματα· εἰ γεγονότ]α εἰσὶν ὑπὸ Μαγνήτων, ὅσον ἂν καλὸν καὶ δίκαιον φαίνηται διατιμησάσθω, καὶ ὅπως εἰς] τὸν αὐτὸν δῆμον κριτὴν Μάαρκος Αἰμύλιος Μαάρκου υἱὸς στρατηγὸς περὶ τούτων τῶν πραγ]μάτων γράμματα δῶι πρὸς ἣν ἂν ἡμέραν ἑκάτεροι παραγίνωνται πρὸς ἑκάτερα τὰ κριματ]α .... ἡμέραν κρίνωσι[.... ὅ]πως καὶ — — — — — — — — — — — — —

c) .... τ]ε καὶ γραφη — — — — .... χ]ρηματισμῶν ὅμορος — — — .... ἡμῖν τοῦτο ἠδυνήθησα[ν — — — .... ποιούμενοι μηδὲ οἷς . ε — — — .... ἐ]κθέσθαι διὰ τῶν ἀποφάσεων .. .. α τῶν ἐπιδεικνυμένων τόπων ἐν .... π]ρησθέντων στεγνῶν ἐν τῆι καταδρομῆ[ι .... ον καὶ Διονύσιον οὐ μόνον διὰ τῶν προγεγραμμένων .... τε]τευχένα[ι ....] ἀλλὰ καὶ ἐκ τῶν ἐχομένων πολλῶι μᾶλλον ἀδύνατον ἦν] κατανοεῖν [τὰ ἐμπ]ρη[σθέν]τα ἐν τῆι Πριηνίδι, διὰ τίνα αἰτίαν οὔτε ἐφυλάττετο οὔ]τε διακατείχετο ὑπ' οὐ[δ]ενὸς Πριηνέως, εἴτε καί, ὡς ἐλέγοσαν οἱ Πριηνέων ἔγδι]κοι, Λύσανδρόν τινα Πριηνῆ πεπιστεῦσθαι ταῦτα πρότερον ὑπὸ τῶν περὶ τὸν Ζ]ηνόδοτον καὶ γενέσθαι κατάδικον Λύσανδρον ὑπὲρ παρορίας, ὅπερ πρὸ τῆς ἐγ]δίκης λόγος ἦν πολὺς καὶ ἱκνούμενος τοῖς Μάγνησιν, τὰ γὰρ ὀφειλόμ[ενα κατὰ τ]ὴν καταδίκην τῆς καθηκούσης τετευχέναι ἐξαγωγῆς ἤτοι εἰσ[πραχθείσης τ]ῆς καταδίκης ἢ ἀφέσεως γενομένης ἢ κατ' ἄλλον τινα τρόπον λοι-........σην οὐδαμῶς οἱ τῶν Πριηνέων ἔγδικοι ἀπέδειξαν, ἐπίμονα δὲ εὑρέθη.. κ]αὶ μέχρι τοῦ νῦν χρόνου ὄντα· ἐν οἷς τε καιροῖς ἐλέγετο ἡ καταδίκη ...έναι, ὁ Διονύσιος, ὃν ἔφασαν πεπιστευκέναι τῶι Λυσάνδρωι ἐπεδείκνυτο ἐκ χρηματισμῶν οὐχ ὑπάρχων ἐν τοῖς τόποις τούτοις, ἄλλοτε μὲν πρεσβεύων εἰς Ῥώμην ὑπὲρ τῆς πατρίδος, ὁτὲ δὲ φυγαδεύων· ὧν εἴπερ ἠβουλόμεθα μηδὲ μνημονεύειν, ἱκανὸς ἦν λόγος ὁ κατὰ τὸν ἐμπρησμὸν καὶ ἡ τῶν κτηνῶν ἁρπαγὴ γεγενημένη ἐκ τῶν τόπων τούτων καὶ ὑπὸ Πριηνέων ἀναμφ[ίλεκ]τος γεγενημένη συστῆσαι, ὅτι Μάγνητες καὶ ταῦτα διακατείχοσάν τε καὶ ἐνέμοντο· τό γε μὴν λεγόμενον ὑπὸ Πριηνέων πρ[ότερον, εἰ ἦν Σκυλλίων πεπιστευμένος κτήσεις ἐν τοῖς τόποις τούτοις ὑπό τε Αἰτωλοῦ καὶ Θεοδότου Μάγνητος καὶ ἡ παραναγιγνωσκομένη ἐ[πι]στολὴ οὐθαμῶς ἡμῖν συνίσ[τη ἃ ἐπ]οίησαν οἱ Πρ[ι]ηνεῖς ....ην — — — — — —

d) — — —δικαι Ἀρτέμιδ[ι
Λευκοφρυην]ῆι
Ἡ(ι)ρέθησαν ἔγδικοι·
Διονύσιος Διονυσίου
τοῦ Σωσικράτου
Πυθόδωρος Δημοκράτου
Παυσανίας Εὐφήμου
Πρωτίων Ἀνδροτίμου
Πυρωνίδης Πρυτάνιδος
Ἐπίκουρος Ἀλκίνου
Ἀρτεμίδωρος Αἰσχρωνος
Ἀλέξανδρος Ἀριστοκράτου
Ἀπολλόδωρος Λεοντέως
Ἀριστοκράτης Ἀνδρωνος
Διονύσιος Ἐπικράτου
Βα[κ]χύλος Θεοφί[λου.]

a 25 ΛΑΚΗΝ 32 ΗΣΟΜΗΝΑ b der Römer hat den Artikel vor οὗτος nicht immer richtig zu setzen gewusst. c 14 ἱκνούμενος willkommen? Lesung sicher. 25 εἰ sicher; man erwartet ὅτι.

Der Schrift nach gleichzeitig oder wenig später als die Wandinschriften der ersten Periode.

Streit zwischen Magnesia und Priene.

a ist der Rest des magnetischen Psephisma, das die Aufschrift der Urkunden anordnet. Es sind das ausser diesem Psephisma (τὸ ψήφισμα τόδε Z. 19) τὸ δόγμα τῆς συγκλήτου καὶ ἡ ἐπιστολὴ ἡ γραφεῖσα ὑπὸ Μαάρκου πρὸς Μυλασεῖς (b), τὸ ψήφισμα καθ' ὃ ἔκρινεν Μυλασέων τὸ δικαστήριον (wahrscheinlich c), ἡ Μυλασέων ἀπόκρισις (verloren), καὶ ἡ ἀπόφασις (verloren), τὰ ὀνόματα πατρόθεν τῶν τε δικαιολογηθέντων καὶ τῶν δικαστῶν (verloren), καὶ τῶν ἐγδίκων (d), τὰ ὀνόματα τῶν δικαστοφυλακησάντων ἀνδρῶν (verloren). Diese verlorenen Urkunden müssen auf der unten anschliessenden Quader gestanden haben; von den vorhandenen sind a. b. c sicher unvollständig; hinter d 16 war die Quaderfuge.

In allen Urkunden handelt es sich um ein zwischen Priene und Magnesia strittiges Gebiet, das zusammen mit Myus, das Philipp V den Magneten geschenkt hatte (Zeugn. Nr. LV), an die Magneten gekommen war. Denn die Ländereien, um welche der Streit entbrannt ist, liegen in der Nähe des Heiligtums des myusischen Apollon (a Z. 11; nur hier bezeugt). Mit dem älteren durch Inschriften bezeugten Streit zwischen Magnesia und Priene (Zeugn. Nr. XLIX. L) haben diese Inschriften nichts zu thun. Die streitenden Parteien haben sich an die Römer gewandt, welche den Praetor M. Aemilius M. f., der unbekannt ist, ihrerseits mit der Regelung der Angelegenheit beauftragen. Dieser bestellt die Mylaseer als Schiedsrichter, welche zu Ungunsten der Prieneer entscheiden. Der Besitzstand soll so hergestellt werden, wie er vor dem Bündnis mit den Römern war, also vor 190; die Inschrift fällt demnach eine Reihe von Jahren nach 190. In c ist folgendes kenntlich: die Magneten hatten sich darauf berufen, dass das strittige Gebiet von den Prieneern in keiner Weise bewacht worden sei. Denn Dionysios, dem die Bewachung anvertraut gewesen sein sollte, war ausser Landes und sein angeblicher Nachfolger Lysandros war wegen Grenzverletzung verurteilt worden. Die Mylaseer weisen den Prieneern nach, dass sie sich in keiner Weise um das strittige Gebiet gekümmert, sondern es vielmehr beraubt und gebrandschatzt haben, während es die Magneten bewacht und bestellt hätten. Im Einzelnen bleibt Vieles unklar.

---

94. Nach einem Abklatsch des Mastro Athanasiu, unseres ehemaligen Aufsehers bei den Ausgrabungen, veröffentlicht in den Beiträgen zur Geschichte der griech. Philosophie und Religion von P. Wendland und O. Kern Berlin 1895 S. 110ff. Später standen mir noch zwei Abklatsche von Rud. Heberdey und E. Kalinka zur Verfügung; dadurch wurde die Lesung des Beamtennamens in Z. 10 ermöglicht. Der Stein befindet sich in einer Moschee von Muslim-Tschanly, einem türkischen Dorf im Nordosten der Mykale, $3^1/_2$ Stunden von der Stadt Sokhia entfernt. Buchstabenh. etwa 0,008; Zeilenabst. 0,01.

— — — — — ἐπειδὴ Εὔφημο]ς Παυσανίου νεωκό[ρος
— — — — — — — — ἀ]ν[ὴρ] κ[α]λὸς καὶ ἀγα[θὸς
εἰς τ]ὸ[ν οἶκ]ον τ[ὸν ἱερὸν] καὶ εἰς τὸν δῆμον καὶ ἰδί[αι ἑ-
κάστ]ωι τῶμ πο[λιτῶν δι]ατελεῖ, δεδόχθαι τῶι δ[ή-
μωι ἐ]πῃνῆσθαί [Εὔφημο]ν ἀρετῆς ἕνεκεν καὶ εὐνοίας
ἣν ἔχ]ων διατελεῖ εἴς τε τὸν οἶκον τὸν ἱερὸν καὶ εἰς τὸ[ν
δῆμον] καὶ στεφανωθῆναι αὐ[τ]ὸν ἐν τοῖς πρώτοις Διον[υ-
σίοις χρ]υσέωι στεφάνωι, στῆσαι δὲ αὐτοῦ καὶ εἰκόν[α ὅ-
που ἂν ἐ]ν τῶι ἱερῶι τοῦ Ἄνακτος βούληται, [το]ὺς δὲ οἰ[κο-
νόμους το]ὺς μετὰ Τόννιον ὑπηρε[τῆ]σαι τὸ ε[ἰς] τὴν ε[ἰκόνα
ἀνήλωμα ἐκ τῶ]ν πόρων ὧν ἔχουσιν εἰς πόλεως διοίκησ[ιν·

λελύσθαι δὲ] καὶ εἴ τι ψήφισ[μ]α ἐναντίον ἐστὶν τῶιδ[ε
τῶι ψηφίσματ]ι κατ' αὐτὸ το[ῦ]το καθ' ὅ ἐστιν ἐναντίον.
Ψῆφοι ἐπηνέχθησ]αν τρισχίλιοι πεντακόσιοι ὀγδο[ή-
κοντα.

Ehrendekret für den Neokoren Euphemos. Dass die Gemeinde, deren Beschluss vorliegt, Magnesia ist, folgt aus der Höhe der Stimmen und den Formeln am Schlusse; vgl. Nr. 92. Für die Διονύσια vgl. Nr. 102. Der Stein, der neben dem Tempel des Anax gestanden haben muss, braucht nicht weit verschleppt zu sein. Er beweist, dass sich das magnetische Gebiet am Anfang des II. Jahrhunderts nach Westen bis an das Meer erstreckte; der nächste Ort ist Anaia, der aber niemals selbständig war. Z. 1 Εὔφημος ergänzt nach den Münzen; ein jüngerer Träger desselben Namens und ebenfalls νεωκόρος Nr. 106 Z. 2.

---

95. Fragment aus weissem Marmor. Oben Rand; sonst allseitig gebrochen. Der Rand ist durch eine 0,03 hohe Vertiefung gebildet wie bei den Cellaquadern des Artemistempels, zu denen es zu gehören scheint, da es im Süden des Tempels gefunden ist. H. 0,095; Br. 0,24; D. 0,195; Buchstabenh. 0,08; Zeilenabst. 0,06. In Berlin.

τῶ]ν γεγραμμένω[ν — —
παρα]καλοῦντες κα[ὶ ἡμᾶς? —
— — οδον ἀεὶ κ —

Schrift aus dem Anfange des II. Jhdts.

96. Marmorplatte, oben gebrochen; unten, rechts und links bestossen. H. 1,30; Br. 0,60; D. 0,17. Unten leerer Raum (etwa 1,10 m frei). Sehr schwer lesbar, da die Platte, welche einmal als Fussbodenbelag gedient hat, stark abgenutzt ist; gefunden im byzantinischen Pflaster der Südwestecke der Agora. In Magnesia.

— — — α . . α — — — — —
— — — — το — — — — —
τοῦ δια]τ[ά]γμα[τ]ος τοῦ — — —
— — — — — — — χ . . σομ . . .
— — — — — τας καὶ τὴν ἀναγγ[ε-
λίαν — — —] λη . . ς ἀπὸ τῶν
— — — — — εν[. . . . π]ολιτῶ[ν
— — — — — δ . . . . θησομεν-
— — — — — — — — ον πρε-
— — — — — — — — — —

Schrift aus dem Anfange des II. Jhdts. Zeile 10 scheint die letzte des Psephisma gewesen zu sein.

---

97. Marmorstele, aus einem grossen und einem kleinen Stück zusammengesetzt. H. 1,64; Br. etwa 0,47; D. 0,12. Die Stele ist rechts und links stark bestossen, oben und unten rauh gelassen oder behufs späterer anderweitiger Verwendung abgearbeitet worden. Buchstabenh. 0,01; Zeilenabst. etwa 0,005. Gefunden am Südwesteingange der Agora. In Berlin. Ein Teil der Inschr. (Z. 24—49) auf Taf. IV unten.

. . . . α — — — — — — — —
Μελά]νιππος Ἀπολλωνίου ε[ἶ]πεν· ἐπειδὴ
Μελά]νιππος Ἀπολλωνίου ἐπελθὼν ἐπ[ὶ
τοὺ]ς ἄρχοντας καὶ τὴν ἐκκλησίαν οἴεται δεῖν
ἀπ]οσταλῆναι πρεσβείαν εἰς Μαγνησίαν ἣ
ἀνο]ίσει τὰς τιμὰς αἷς τετίμηται ὑπὸ το[ῦ δή-
μου Γ]λαῦκος, δεδόχθαι τῶι δή⟨ι⟩μωι ἀποδ[εῖ-
ξαι] πρεσβευτὰς δύο ἤδη, οἵτινες ἀφικό[με-
νοι] εἰς Μαγνησίαν ἀνοίσουσι τῶι δήμωι [τῶν
Μαγ]νήτων τὸ ψήφισμα, καθότι τετίμηκε[ν
ὁ δῆ]μος Γλαῦκον Ἀδμήτου Μάγνητα, καὶ π[αρα-
καλ]έσουσιν Μάγνητας συγγενεῖς ὄ[ν-

τα]ς καὶ φίλους τοῦ δήμου διὰ προγόνων τήν τ[ε πάσα]ν σπουδὴν καὶ ἐπιμέλειαν ποιήσασθαι, ὅπως [τὸ ψήφι]σμα, καθ' ὅτι τετίμηται Γλαῦκος Ἀδμή[του Μάγ]νης, ἀναγραφῆι εἰς στήλην λιθίνην κα[ὶ σταθῆι ἐ]ν τῶι ἐπιφανεστάτωι τόπωι οὗ ἂ[ν αὐτοῖ]ς φαίνηται, καὶ ὅπως ὁ στέφανος [ὧι ἐσ]τεφάνωκεν ὁ δῆμος Γλαῦκον ἀν[αγγελῆι ἐ]ν τοῖς Διονυσίοις οἷς συντελοῦσιν Μά[γνητες] δηλοῦντες αὐτοῖς, διότι ταῦτα ποιήσα[ντες ἀκόλου]θά τε πράξουσιν τῆι προϋπαρχούσῃ φ[ιλίαι ταῖς π]όλεσιν πρὸς ἀλλήλας καὶ χαριοῦν[ται τῶι δ]ήμωι· ἐφό(δ)ιον δὲ τοῖς πρεσβευταῖς τ[άξαι τὸ]ν δῆμον, τὸ δὲ ταχθὲν δοῦναι τὸν δη.... ..... μενον, ἀποκατ(α)στῆσαι δὲ ἐκ τῆς διοικ[ήσεως. Πρ]εσβευταὶ ᾑρέθησαν Ἀπολλώνιος Μελ]ανίππου Μελάνιππος Ἀπολλωνίου.

Παρὰ τῶν αὐτῶν·

Τιμ]ούχων καὶ στρατηγῶν γνώμη· ἐπειδὴ Γ[λαῦκος] Ἀδμήτου Μάγνης χρήσιμον καὶ φιλότιμο[ν ἑαυτὸν] παρεχόμενος διατελεῖ κοινῆι τε τ[ῆι πόλε]ι καὶ ἰδίαι τῶμ πολιτῶν τοῖς ἐντυγχάν[ουσιν αὐτ]ῶι, δεδόχθαι τῶι δήμωι· ἐπαινέσαι Γ[λαῦκον Ἀδμ]ήτου Μάγνητα ὄντα εὐεργέτην τοῦ δ[ήμου, στε]φανῶσαι δὲ αὐτὸν ἐν τοῖς Διονυσ[ίοις οἷς] τοὺς χοροὺς συντελῶμεν τῶι Διονύ[σωι στεφ]άνωι χρυσῶι ἀρετῆς ἕνεκεν καὶ εὐνοία[ς ἧς ἔχων δι]ατελεῖ εἰς τὸ[ν] δῆμον, τῆς δὲ ἀναγγελία[ς τούτων] ἐπιμεληθῆναι τοὺς τιμούχους, παρακαλεῖ[ν δὲ αὐτὸν] εἰς προεδρίαν καθότι καὶ τοὺς ἄλλους εὐεργέτας ἐ]ν τοῖς ἀγῶσιν οἷς ἡ πόλις τίθησιν, ὑπά[ρχειν δ' αὐτῶ]ι καὶ ἀτέλειαν καθότι καὶ τοῖς ἄλλοις εὐερ[γέταις, στε]φανοῦσθαι δὲ αὐτὸν καὶ καθ' ἕκαστον ἔ[τος, ὅταν τ]οὺς χοροὺς συντελῶμεν τῶι Διονύ[σωι στεφάνω]ι χρυσῶι, τῆς δὲ ἀναγγελίας τοῦ στεφά[νου ἐπιμελεῖ]σθαι τοὺς ἑκάστοτε γινομένους τιμού[χους.

Πρὸς τὸ Τηίω[ν·

Ἔδοξ]εν τῶι δήμωι· Δημοφῶν (Δ)ημοκράτου εἶπεν· ἐπειδ]ὴ Τήιοι ψήφισμά τε καὶ πρεσβευτὰς ἀ[ποστείλαν]τες Ἀπολλώνιον Μελανίππου Μελά[νιππον Ἀ]πολλωνίου τοὺς ἀνοίσαντας πρὸς [ἡμᾶς τὰς δ]εδομένας ὑφ' αὐτῶν τιμὰς Γλαύκωι [Ἀδμήτ]ου τῶι παρ' ἡμῖν προσαγορευομένω[ι Ἀρτεμιδώρω]ι Ἀδμήτου ⟨καὶ⟩ παρακαλοῦσιν ἡμᾶς συ[γγενε]ῖς ὄντας διὰ προγόνων τὴν πᾶσαν [σπουδὴν καὶ ἐ]πιμέλειαν ποιήσασθαι, ὅπως τὸ [ψήφισμα, καθ' ὃ τ]ετίμηται Γλαῦκος Ἀδμήτου Μάγνης, ἀ[ναγραφῆι] εἰς στήλην λιθίνην καὶ σταθῆι ἐν τῶ[ι ἐπιφανεσ]τάτωι τόπωι, καὶ ὅπως ὁ στέφανος, [ὧι ἐστε-

φάνωκ]ε̣ν ὁ δῆμος ὁ Τηίων αὐτόν, ἀναγγελῆι ἐν [τοῖς Διονυσί]οις οἷς συντελοῦ(μ)εν, ἐνεφάνιζον [δὲ καί, ὅτι ταῦ]τα ποιήσαντες ἀκόλουθα πράξουσ[ιν τῆι προϋπα]ρχούσηι φιλίαι ταῖς πόλεσι πρὸς ἀλ[λήλας καὶ χαριο]ύμεθα τῶι δήμωι τῶι Τηίων, διελέγ[ησαν δὲ περὶ] τ̣ούτων καὶ οἱ πρεσβευταὶ μετὰ πάση̣[ς φιλοτιμίας] ἀκολούθως τοῖς ἐν τῶι ψηφίσματι γ[εγραμμένοις, δε]δόχθαι τῶι δήμωι ἐπηινῆσθαι μὲ[ν Τηίους ἐπὶ τ]ῶ̣ι τιμᾶν τοὺς καλοὺς κἀγαθοὺς [ἄνδρας κ]α̣ὶ ἀποκρίνασθαι αὐτοῖς ὅτι ὁ δῆμος ὁ Μ̣[αγνήτων βουλόμε]νος χαρίζεσθαι τῶι δήμωι τῶν Τηίω[ν, ἀκολούθως πρά]σσων τῆι προϋπαρχούσηι φιλίαι ταῖ[ς πόλεσι πρὸς ἀλλήλα]ς τὰς δεδομένας τιμὰς Ἀρτεμιδώ[ρωι δέχεται μετ]ὰ̣ πάσης προθυμίας καὶ καθότι παρ[ακαλοῦσι] π̣οιήσ[ε]ται τὴν ἀναγραφὴν τοῦ ψηφίσματ[ος καὶ τὴν ἀν]άθεσ[ιν] τῆς στήλης ἐν τῶι ἐπιφανε[στάτωι τόπ]ω̣ι, ποιήσε̣ται δὲ καὶ τὴν ἀναγγελίαν τ[οῦ στεφάνου,] κ̣αθότι ἀξιοῦσιν· ὅπως δὲ καὶ τὸ ψήφισ[μα τὸ παρὰ] Τηίων, καθ' ὃ τετίμηται Ἀρτεμίδωρος Ἀ[δμήτου ὁ ὑπὸ] Τηίων ἀπὸ τ̣ο̣ῦ παρωνύμου Γλαῦκος Ἀ̣[δμήτου προσ]αγορευόμενο̣ς, ἀναγραφὲν εἰς στήλ[ην λιθίνην ἀν]ατεθῆι εἰς τὸ [ἱε]ρ̣ὸ̣ν τῆς Ἀρτέμιδος τ[ῆς Λευκοφρυην]ῆς, ἐπιμελὲς [π]οιήσασθαι τοὺς ἐνε[στηκότας οἰκονόμ]ους, τῆς δὲ ἀναγγελίας τοῦ στε[φάνου ποιήσασ]θαι τὴν ἐπιμέλειαν τοὺς ἀγωνοθέτ̣[ας τοῦ μουσικο]ῦ̣ τοὺς ἐπὶ Λάμπωνος, ἐπηινῆσθαι δὲ [καὶ τοὺς πα]ρὰ Τηίων πρεσβευτὰς Ἀπολλώνιον κ[αὶ Μελάνιπ]πον ἐπὶ τῆι φιλοτιμίαι, ἀποσταλῆναι δὲ αὐτοῖ]ς καὶ ξένια τὰ κατὰ [τ]ὸ ψ[ή]φισμα· [καλείτω δ'] α̣ὐτοὺς καὶ ὁ στεφανηφόρος ε̣ἰ̣ς [τὸ πρυτανεῖ]ον· ἵνα δὲ καὶ ἀσφαλῶς παραπεμφθ[ῶσιν, το]ὺς πολεμάρχας καὶ τοὺς ἱππάρχ[ας τὴν ἐ]πιμέλειαν ποιήσασθαι.

24 ΕΦΟΛΙΟΝ 26 ΑΓΙΟΚΑΤΣΤΗΣΑΙ 49 ΛΗΜΟΚΡΑΤΟΥ 62 ΣΥΝΤΕΛΟΥΝΕΝ 63 πράξουσ[ιν statt πράξομεν sicher.

Artemidoros genannt Glaukos von den Teiern geehrt.

Wahrscheinlich aus der ersten Hälfte des II. Jhdts. Z. 1—28 Psephisma der Teier, das zwei Gesandte bestimmt, die ein Ehrendekret für den Magneten Artemidoros den S. des Admetos (τὸν ὑπὸ Τηίων ἀπὸ τοῦ παρωνύμου Γλαῦκον Ἀδμήτου προσαγορευόμενον) nach Magnesia bringen und für dessen Aufstellung u. s. w. Sorge tragen sollen. Z. 29—47 folgt das für Glaukos in Teos beschlossene Dekret. Die Magneten beschliessen nach dem Vorschlag der teischen Gesandten (Z. 48—93) und erteilen diesen ein Lob (Z. 86). Das magnetische Psephisma ist am Ende des Jahres gegeben, da der neue Stephanephoros bereits gewählt ist, die Agonotheten dagegen nicht (Z. 86). Der Zusatz Z. 91—93 weist auf eine kriegerische Zeit: vgl. Inschr. aus Teos Le Bas III 87, 33 ἐλέσθ]αι δὲ καὶ ἄνδρας οἳ ἀποκαταστήσουσιν αὐτ[ὸν εἰς τὴν ἰδίαν μετὰ ἀσφαλείας] und Nr. 15b Z. 24.

98. Eine 1,29 hohe, oben 0,57, unten 0,60 breite Quader von der Nordwest-Ante des Zeustempels. Vgl. Archaeol. Anzeiger 1894 S. 78 und P. Stengel Festschrift für Ludwig Friedländer 1895 S. 420. In Berlin.

Στε]φανηφοροῦντ[ος Ἀ]ριστέως τοῦ [Δη]μητρ[ί]ου τοῦ ...ωνος, μηνὸς Σμισιῶνος, φυλῆς προεδρευούσης Ἀττα]λίδος, γραμματεύοντος τῆι βουλῆι Πυθο[κλ]είδου τ]οῦ Ἡγησίππου, τετράδι ἀπιόντος, ἐν νομαίαι ἐκκ]λησίαι, προέδρων ἐπιστατοῦντος Μενεστράτου τοῦ Ἀρτεμιδώρου, ὑπὲρ τοῦ ἀναδείκνυσθαι ἑκάστου ἐνιαυτοῦ τῶι Διὶ ταῦρον ἀρχομένου σπόρου καὶ ὑπὲρ κατευχῆς καὶ πομπῆς καὶ θυσίας καὶ ὑπὲρ τοῦ πήγνυσθαι θόλον ἐν τῆι ἀγορᾶι καὶ στρώννυσθαι στρωμνάς.

Ἔδοξε τῆι βουλῆι καὶ τῶι δήμωι· γνώμη δήμου· ὅπως οἱ οἰκονόμοι οἱ ἐνεστηκότες ἀγοράσωσιν ταῦρον καὶ οἱ ἀεὶ καθιστάμενοι ἀγοράζωσιν ταῦρον ὡς κάλλιστον τοῦ μηνὸς τοῦ Ἡραιῶνος ἐν τῆι πανηγύρει ἑκάστου ἔτους καὶ ἀναδεικνύωσι τῶι Διὶ ἀρχομένου σπόρου μηνὸς Κρονιῶνος ἐν τῆι νουμηνίαι μετὰ τοῦ ἱέρεω καὶ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς Λευκοφρυηνῆς καὶ τοῦ στεφανηφόρου καὶ τοῦ ἱεροκήρυκος καὶ τοῦ λητουργοῦντος θύτου τῆι πόλει, ἀποστέλλειν δὲ τοὺς παιδονόμους παῖδας ἐννέα ἀμφιθαλεῖς, ἀποστέλλειν δὲ καὶ τοὺς γυναικονόμους παρθένους ἐννέα ἀμφιθαλεῖς· καὶ ἐν τῶι ἀναδείκνυσθαι τὸν ταῦρον κατευχέσθω ὁ ἱεροκῆρυξ μετὰ τοῦ ἱέρεω καὶ τῆς ἱερείας καὶ τοῦ στεφανηφόρου καὶ τῶμ παίδων καὶ τῶν παρθένων καὶ τῶμ πολεμάρχων καὶ τῶν ἱππάρχων καὶ τῶν οἰκονόμων καὶ τοῦ γραμματέως τῆς βουλῆς καὶ τοῦ ἀντιγραφέως καὶ τοῦ στρατηγοῦ ὑπέρ τε σωτηρίας τῆς τε πόλεως καὶ τῆς χώρας καὶ τῶμ πολιτῶν καὶ γυναικῶν καὶ τέκνων καὶ τῶν ἄλλων τῶν κατοικούντων ἔν τε τῆι πόλει καὶ τῆι χώραι ὑπέρ τε εἰρήνης καὶ πλούτου καὶ σίτου φορᾶς καὶ τῶν ἄλλων καρπῶν πάντων καὶ τῶν κτηνῶν, δεδόχθαι τῆι βουλῆι καὶ τῶι δήμωι· τὸν στεφανηφόρον τὸν ἀεὶ γινόμενον μετὰ τοῦ ἱέρεω καὶ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς Λευκοφρυην(ῆ)ς ἐξάγ]ειν τὴμ πομπὴν τοῦ μηνὸς τοῦ Ἀρτεμισιῶνος τῆι δωδεκάτηι καὶ θύειν τὸν ταῦρον τὸν ἀναδεικνύμενον, συμπομπεύειν δὲ τήν τε γερουσίαν καὶ τοὺς ἱερεῖς καὶ τοὺς ἄρχοντας τούς τε χειροτονητοὺς καὶ τ]οὺς κληρωτοὺς καὶ τοὺς ἐφήβους καὶ τοὺς νέους καὶ τοὺς παῖδας καὶ τοὺς τὰ Λευκοφρυηνὰ νικῶντας καὶ τοὺς ἄλλους τοὺς νικῶντας τοὺς στεφανίτας ἀγῶνας, ὁ δὲ στεφανηφόρος ἄγων τὴν πομπὴν φερέτω ξόανα πάντων τῶν δώδεκα θεῶν ἐν ἐσθῆσιν ὡς καλλίσταις καὶ πηγνύτω θόλον ἐν τῆι ἀγορᾶι πρὸς τῶι βωμῶι τῶν δώδεκα θεῶν, στρωνύτω δὲ καὶ στρωμνὰς τρεῖς ὡς καλλίστας, παρεχέτω δὲ καὶ ἀκροάματα αὐλητὴν συριστὴν κιθαριστήν, παριστανέτωσαν δὲ καὶ οἱ οἰκονόμοι οἱ ἐν τῶι μηνὶ τῶι Ἀρτεμισιῶνι τῆι δωδεκάτηι ἱερεῖα τρία, ἃ] θύσουσιν τῶι τε Διὶ τῶι Σωσιπόλει καὶ τῆι Ἀρτέμιδι

τ]ῆι Λευκοφρυηνῆι καὶ τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τῶι μὲν
Διὶ] κριὸν ὡς κάλλιστον, τῆι δὲ Ἀρτέμιδι αἶγα, τῷ δὲ Ἀπόλλ[ω-
νι ἀττηγόν, θύοντες τῶι μὲν Διὶ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸ[ς
τοῦ Σωσιπόλιος, τῆι δὲ Ἀρτέμιδι καὶ τῶι Ἀπόλλωνι ἐπὶ τ[οῦ
βωμοῦ τῆς Ἀρτέμιδος, λαμβάνειν δὲ τὰ γέρα τὰ ἰθισμέν[α
τοὺς ἱερεῖς τῶν θεῶν τούτων· τὸν δὲ βοῦν ὅταν θύσωσιν,
δ]ιανεμέτωσαν τοῖς συμπομπεύσασιν, τὸν δὲ κριὸν καὶ τὴν
αἶγα καὶ τὸν ἀττηγὸν διανεμέτωσαν τῶι τε στεφανηφό-
ρ]ωι καὶ τῆι ἱερείαι καὶ τοῖς πολεμάρχαις καὶ τοῖς προέδροις
κα]ὶ νεωποίαις καὶ εὐθύνοις καὶ τοῖς λητουργήσασιν, διανε-
μέ]τωσαν δὲ ταῦτα οἱ οἰκονόμοι. ὅταν δὲ ἀναδειχθῆ ὁ ταῦ-
ρ]ος, ἔγδοσιν ποιείσθωσαν οἱ οἰκονόμοι ὅπως τρέφηται ὑπὸ
τοῦ ἐργολαβήσαντος, ἀγέτω δὲ ὁ ἐργολαβήσας τὸν ταῦρον
εἰς τὴν ἀγορὰν καὶ ἀγειρέτω παρά τε τῶν σιτοπωλῶν
καὶ παρὰ τῶν ἄλλων ἀγοραίων ἃ ἀνήκει εἰς τὴν τροφήν, καὶ ἄ-
μεινον εἶναι τοῖς διδοῦσιν. τὸ δὲ ψήφισμα τόδε ἀναγρά-
ψαι τοὺς οἰκονόμους εἰς τὸ ἱερὸν τοῦ Διὸς εἰς τὴν παραστά-
δα, ἀναλισκέτωσαν δὲ εἰς ταῦτα πάντα τὰ γεγραμμένα οἱ [οἰ-
κονόμοι ἐκ τῶν πόρων ὧν ἔχουσιν εἰς πόλεως διοι[ίκησιν, τὸ δὲ
ψ]ήφισ[μα τόδε] εἶναι εἰς φυλακὴν [τῆς πόλεως?

33 ΛΕΥΚΟΦΡΥΗΝΣ

Fest für Zeus Sosipolis.

Die Schrift ähnelt stark der der Wandinschriften der ersten Periode (Anfang des II. Jhdts.) Über Zeus Sosipolis vgl. Zengn. Nr. I und C. Robert Athen. Mitth. XVIII (1893) S. 37. Das Psephisma stand auf der Nordwestante seines Tempels (Z. 65), in dessen Cella auch Basis und Reste des Kultbildes gefunden sind. Letzteres war ein Sitzbild mit unbekleidetem Oberkörper; eine Vorstellung giebt eine Kupfermünze des Septimius Severus, von der sich im Berliner und Pariser Münzcabinett Exemplare befinden vgl. Rayet Milet et le Golfe Latmique S. 132 Anm. 2.

51 ἀττηγός Eustath. ad Odyss. IX 222 p. 1625 (Ἀριστοφάνης ὁ γραμματικός): Ἰωνικοὶ δέ τινες καὶ ἀττηγοὺς καλοῦσιν ἡλικίαν τινὰ τῶν ἀρρένων (sc. αἰγῶν); vgl. Arnobius adv. nation. V 6 p. 178 R. *hirquos Phryges suis attagos elocutionibus nuncupant, inde Attis nomen ut sortiretur effluxit.* Der Z. 51 erwähnte Altar ist im Westen des Tempels wiedergefunden; es ist ein mit sehr geringer Sorgfalt errichtetes Bauwerk, wohl für eine κονίασις (vgl. Nr. 100b Z. 89) bestimmt, ohne Inschrift und ohne jeden Schmuck.

---

99. Marmorquader, gefunden nach Schluss der Ausgrabungen im Herbst 1893 neben anderen Baugliedern auf einem Weinberg wenig östlich vom Stadion (auf dem Stadtplan Nr. 5). Oben und unten Anschlussfläche; auf der Oberfläche Dübelloch und Gusskanal. Rechts gebrochen. Die Quader scheint zu dem Pfeiler eines Gebäudes zu gehören. H. 0,76; Br. etwa 0,90 (die Schrift ist nur etwa bis 0,58 m. zu verfolgen; rechts ist sie stark abgescheuert); T. 0,77. Die Lesung ist im Wesentlichen auf Grund zweier Abklatsche erfolgt. In Magnesia.

— — — — — — — — — — — — — —
— — κ]αθότι καὶ το — — — — — — — — —
ται ἐν τῶι ἐνιαυτῶ[ι — — — — — — — —
τ]ῶι θεῶι παραστήσου[σιν — — — — — — —
του οἱ οἰκονόμοι Φαρσαλ — — — — — —
τ]ῶν ἑορτῶν παριστάντες — — — — — — —
. . ν, τὰ δὲ θυθέντα καταναλισκέ[τ]ω[σαν — — εἰς
δ]ὲ τὸν ἄλλον χρόνον προσμισθούσθωσαν οἱ [οἰκονόμοι
τ]ὰ ἱερὰ καθότι γέγραπται· καταστήσει δὲ κ[αὶ — — ἐν τῶι
τ]εμένει τῶι ἀνατεθέντι τῶι θεῶι· λήψεται δ[ὲ τῶν τεθυμένων
ἐ]ν τῶι τεμένει ἀφ' ἑκάστου ἱερείου σκέλος κα[ὶ — — — —

τ]ῶι θεῶι τὰ τρίτα μέρη, ἐν ἄλλωι δὲ τόπωι μὴ [ποιείτω βω-?
μ?]ὸν Σαράπιδος· εἰ δὲ μή, ὀφειλέτω τῶι δήμωι δ[ραχμὰς — —
κ]αὶ ὁ τόπος ἔστω τῆς πόλ[εω]ς· φαινέτω [δὲ ὁ βουλόμενος ἐπὶ τῶι
ἡ]μίσει πρὸς τοὺς εὐθύνο[υ]ς, οἱ δὲ εὔθυνοι καὶ οἱ εὐθυν — — —
.... εἰς τὸ καθ' ἑξάμηνον παραγινόμενον δ[ικαστήριον. Λαμβα?-
νέτω?]σαν δὲ οἱ οἰκονόμοι ἐκ τῶν ξυλίνων ὠ[νῶν δραχ-
μ]ὰς τρεῖς [κ]αὶ ἐκ τῶν σιτηρῶν [ὠ]νῶν δ[ραχ]μὴν μ[ίαν ἀ-
πο]δότωσαν τῶι ἱερεῖ· ἐξουσία δὲ ἔστω τῶ[ι] δή[μωι — —
.... υ ἢ [ὑπ]ογράψαι ἕτερον ἕως τῆς ἀναφορᾶς — —

Ἐπὶ Στρατοκλείους·

Τῶι] πριαμένωι τὴν ἱερεωσύνην τοῦ [Σαράπιδος
.... θηι ὅταν παραλάβηι τὴν ἱερεω[σύνην
.... τὴ]ν διαγραφὴν καθ' ἣν ἐπρίατο — —
...... δε παρά[ρ]τημα ὃ πριάμ[ενος —
... φερόμενον ὑπὸ τῶν [ἰ]διωτῶ[ν —
...... κρατῆρα κιρνᾶι ἐν τῶ[ι τεμένει
...... ον .. χοῦν οὐ πλεῖον — —
...... ενος καὶ τῆς [ἡ]μέρας τὸ δ — —
.... ων συνόντων ἐν τῶι — — —
.... ανωνπα — — —

1 Unsichere Reste, etwa ... A ....ιιΝΗ 28 vor ον noch eine senkrechte Hasta. 30 ist der erste Buchstabe der Zeile A, Δ oder Λ gewesen.

Stiftung eines Sarapisheiligtums.

Schrift des Anfangs des II. Jhdts v. Chr. Der Kult des Sarapis ist für Magnesia auch durch Münzen bezeugt (s. die Einleitung). Z. 1—7 Bestimmungen über die erste Einführung. Der Name Φαρσαλ — ist rätselhaft; die Lesung sicher; es wird der Name des Mannes sein, der für Sarapis Propaganda gemacht hat, und dessen Treiben der Staat einschränkt, indem er es concessioniert. Z. 8 wird die Verpachtung des Priestertums für die Zukunft unter die Controlle der οἰκονόμοι gestellt. Z. 9 ist offenbar der Priester Subject; aber unklar bleibt, was derselbe in dem dem Gott geweihten Temenos aufstellen soll (einen Altar?). Es folgen dann nähere Bestimmungen über den Anteil ($^2/_3$), den er von den Opfern empfängt. An einem anderen Platze als auf dem von der Stadt hergegebenen Grundstück darf kein Altar des Sarapis errichtet werden (Z. 12). Sonst zahlt der Priester Strafe und der Platz wird Eigentum der Stadt. Z. 15. 16 wird der Processgang beschrieben: die Anzeige ist bei den εὔθυνοι zu machen, die es vor das Gericht bringen, das alle sechs Monate seine Tage hält. Z. 17—19 wird der Anteil bestimmt, den der Priester durch die οἰκονόμοι erhält, wenn Holz und Getreide verkauft werden. Z. 19. 20 über die Befugnis des Volks, dies Gesetz zu ändern oder einen Zusatz zu machen. ἕως τῆς ἀναφορᾶς bleibt undeutlich. Unter dem Stephanephoros Stratokles (vgl. die Münzen) ist ein solcher Zusatz (Z. 21—31) erfolgt, dessen Sinn unkenntlich ist.

---

100. a und b zwei Quadern von der Westante der ionischen Südhalle der Agora, deren Kapitell die Form eines Stierkopfs hat. b wurde noch in situ gefunden (jetzt in Berlin). a fand sich im Herbst 1893 bei einer Nachlese und liegt noch auf der Ausgrabungsstätte. b war stark versintert und konnte erst in Berlin gereinigt und gelesen werden. Gipsabguss und Abklatsch der ungereinigten Inschrift sind in Berlin. a ist gut erhalten und macht der Lesung keinerlei Schwierigkeit. Buchstabenh. 0,01; Zeilenabst. etwa 0,01. c Bruchstück einer Quader; oben, rechts und hinten gebrochen, unten bestossen. H. 0,16; Br. 0,20; D. 0,19; Buchstabenh. und Zeilenabst. etwa 0,01. Auf der Unterfläche Rest eines Dübellochs. Gefunden in der Westhalle der Agora, nicht weit vom Brunnenhäuschen. Die Überschriften (a 1—10; c 5—7) sind durch grössere Buchstaben, grösseren Zeilenabstand und Einrücken hervorgehoben. Vgl. Archaeolog. Anzeiger 1894 S. 122.

a.

Στεφανηφοροῦντος Πολυκλείδου τοῦ
Πυθοδήλου μηνὸς Ἁγνεῶνος

ὑπὲρ τῆς καθιδρύσεως τοῦ ξοάνου τῆς Ἀρτέμιδος τῆς Λευκοφρυηνῆς εἰς τὸν κατεσκευασμένον αὐτῆι νῦν Παρθενῶνα καὶ περὶ τοῦ ἐπιτελεῖσθαι αὐτῆι καθ' ἕκαστον ἐνιαυτὸν ἐν μηνὶ Ἀρτεμισιῶνι τῆι ἕκτηι ἱσταμένου σπονδὰς καὶ θυσίας, συντελεῖσθαι δὲ καὶ ὑφ' ἑκάστου τῶν κατοικούντων θυσίας πρὸ τῶν θυρῶν κατ' οἴκου δύναμιν ἐπὶ τῶν κατασκευασθησομένων ὑπ' αὐτῶν βωμῶν.

Ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι· Διαγόρας Ἰσαγόρου εἶπεν· ἐπειδὴ θείας ἐπιπνοίας καὶ παραστάσεως γενομένης τῶι σύνπαντι πλήθει τοῦ πολιτεύματος εἰς τὴν ἀποκατάστασιν τοῦ ναοῦ συντέλειαν εἴληφεν ὁ [Π]αρθενὼν τῆι [κ]ατὰ μέρος ἐπαυξήσει τῶν ἔργων καὶ μεγαλοπρεπείαι πλεῖστον διαφέρων τοῦ ἀπολειφθέντος ἡμῖν τὸ παλαιὸν ὑπὸ τῶν προγόνων, πάτριον δ' ἐστὶν τῶι δήμωι πρὸς τὸ θεῖον εὐσεβῶς διακειμένωι πᾶσιν μὲν τοῖς θεοῖς ἀεί ποτε τὰς καταξίας θυσίας τε καὶ τιμὰς ἀπονέμειν, μάλιστα δὲ τῆι ἀρχηγέτιδι τῆς πόλεως Ἀρτέμιδι Λευκοφρυηνῆι, τύχηι ἀγαθῆι καὶ ἐπὶ σωτηρίαι τοῦ τε δήμου καὶ τῶν εὐνοούντων τῶι πλήθει τῶι Μαγνήτων σὺν γυναιξὶ καὶ τέκνοις τοῖς τούτων, δεδόχθαι τῆι βουλῆι καὶ τῶι δήμωι· τὸν μὲν νεωκόρον καὶ τὴν ἱέρειαν τῆς Ἀρτέμιδος τοῦ μηνὸς τοῦ Ἀρτεμισιῶνος τῆι ἕκτηι ἱσταμένου συντελέσαι τὴν ἀποκατάστασιν τῆς θεοῦ εἰς τὸν Παρθενῶνα μετὰ θυσίας τῆς ἐπιφανεστάτης, τὴν δὲ ἡμέραν τήνδε ἀναδεδεῖχθαι εἰς τὸν ἀε[ὶ] χρόνον ἱερὰν προσαγορευομένην Ἰσιτήρια, καὶ ἔστωσαν ἐν αὐτῆι ἐκεχειρίαι πᾶσι πρὸς πάντων, γινέσθω δὲ καὶ γυναικῶν ἔξοδος εἰς τὸ ἱερὸν καὶ παρεδρευέτωσαν ἐν τῶι ἱερῶι τὴν ἐπιβάλλουσαν τιμὴν καὶ παρεδρείαν ποιούμεναι τῆς θεοῦ· συντελείτω δὲ ὁ νεωκόρος καὶ χοροὺς παρθένων ἀιδουσῶν ὕμνους εἰς Ἄρτεμιν Λευκοφρυηνήν, ἀνιέ[σθωσαν δὲ οἱ παῖδες ἐκ τῶν μαθημάτων καὶ ἀπὸ τῶν ἔργων δοῦλοί τε καὶ δοῦλαι, ἐν ἧι ταῦτα ἡμέραι συντελεσθήσεται· τὰς δὲ γινομένας ἱερείας τῆς Ἀρτέμιδος μετὰ στεφανηφόρον Πολυκλείδην καὶ τοὺς στεφανηφόρους ἐν τῶι καθ' ἑαυτοὺς ἐνιαυτῶι θυσίαν καὶ πομπὴν συντελεῖν· ὑπάρχειν δὲ ἐν αὐτῆι ταύτηι τῆι ἡμέραι καὶ τὴν περὶ τῶν ὠνίων οἰκονομίαν μετὰ στεφανηφόρον Πολυκλείδην ἥτις γίνεται καὶ ἐν τῆι πρώτηι ἡμέραι τοῦ ἐνιαυτοῦ· τὸν δὲ ἱεροκήρυκα [τὸν νῦν καὶ τὸν κατ' ἐνιαυτὸν ἀεὶ τοῦδε τοῦ μηνὸς ἐν τῆι ἀποδεδειγ[μένηι ἱερᾶι ἡμέραι πληθυούσης ἀγορᾶς συνπαρόντων ἐν ἐσθῆσ[ιν ἐπισήμοις καὶ δάφνης στεφάνοις πολεμάρχων, οἰκονόμω[ν, γραμματέως βουλῆς, στρατηγοῦ, ἱππάρχων, στεφανηφόρου, ἀν[τιγραφέως εὐφημίαν καταγγείλαντα πρὸ τοῦ βουλευτηρίου μετὰ [τῶν παίδων κατευχὴν καὶ παράκλησιν παντὸς τοῦ πλήθους ποιεῖσ[θαι, λέγειν δέ· Παρακαλῶ πάντας τοὺς κατοικοῦντας πόλιν καὶ χώρ[αν τὴν Μαγνήτων ἐπὶ καλοῖς Ἰσιτηρίοις κατὰ δύναμιν οἴκου κεχ[αρισμένην θυσίαν συντελεῖν Ἀρτέμιδι Λευκοφρυηνῆι τῆιδε τῆ ἡμέ[ραι — — — καὶ Μάγνησιν αὐτοῖς τε διδόναι καὶ γυναιξὶν ὑγ[ί]ει[αν — — Ἀρ-

τεμιν Λευκοφρυηνὴν καὶ γενεὰν τήν τε ὑπά[ρχουσαν — — — — καὶ εὐτυχεῖν καὶ τὴν ἐπιγονὴν μακαρίαν — — — — — — — — — ...ον δε . χεθ .... ειο — — — — — — — — — —

b.

— — — — — — — — — — — — — — — — — — —
— — — — — — — — — — — — — — — — — — —
— — — — — — — — — — — — — — — — — — —

.... ετα — — — — — — — — — — — — — .....π . ότος τὴν θε[άν? — — — — — — — — — — — καθιδρύεσθαι προστάξαν[τος .... ὅπως ......]ντ..οι πάντ[ες οἱ κατοικοῦντες τήν τε πόλιν καὶ [τὴν χώραν κα]τὰ δύναμιν τὴν ἰδίαν [τὰς πρεπούσας ἀπονέμωσιν τῆι θεῶι τιμὰς κατ' ἐνιαυτὸν τῆι ἕκτηι ἱ[σταμένου τοῦ Ἀρτεμισιῶνος μηνὸς ἐν τοῖς προσαγορευομένοις [Εἰσιτηρίοις καταξίως τῶν ὑπ' αὐτῆς γεγενημένων τε καὶ γινο[μένων διὰ παντὸς εἰς τὸ πλῆθος ἡμῶν εὐεργεσιῶν, οἰομένου σ(υ)ν[οίσειν ἀνίεσθαι μὲν τοὺς παῖδας ἐκ τῶν μαθημάτων κατὰ τὸ πά[τριον ἔθος κ]αὶ τὴν οἰκετείαν ἀπὸ παντὸς ἔργου, συνκεχωρηκότος δὲ [οἰκονομίαν τῶν διαπωλουμένων ἐν ἐκείνῃ τῆι ἡμέραι χάριν τοῦ [τοῖς πολλοῖς μᾶλλ]ον ἔκδηλον ὑπάρχειν τὴν τοῦ δήμου σπουδήν, τά τε ἄ[λλα καταχωρίσαντος ἐν τῶι ψηφίσματι τὰ διατείνοντα πρὸ[ς] τὴν τ[ῆς θεοῦ εὐσέβ]ειαν, ἐπιτάξαντος δὲ καὶ σπονδὰς καὶ κατευχὰς ὑπὸ τῆς συν[αρχίας, ἔτι δὲ καὶ θυσίας συντελεῖσθαι, καθῆκόν ἐστιν τῶι δήμωι [πλεῖον καὶ ἐκτενέστερον περὶ τῶν προγεγραμμένων φροντίσαι καὶ ἀ[ναγράψαι μὲν τὸ κεκυρωμένον ἐπὶ στεφανηφόρου Πολυκλείδου [μηνὸς Ἀγνεῶνος ψήφισμα, περιέχον δὲ τὰς προγεγραμμένας τι[μὰς εἰς τὴν παραστάδα τὴν ἀπὸ δυσμῆς τῆς στοᾶς τῆς βορεί[ας ἐφ' ἧς ἔπεστιν τὸ βουκεφάλιον χειροτονηθέντος ἐπὶ τῆς ἀναγ[ραφῆς ἀνδρὸς ὃς ἐγδώσει μετὰ τοῦ ἀρχιτέκτονος χορηγῆσαι [τὸ γινόμενον δαπάνημα χάριν τῆς ἀναγραφῆς τῶν [πάν]τω[ν] ἐ(κ τ)ῶν π[ροσόδων τῶν ἐν τῶι ἐνεστῶτι ἐνιαυτῶι· ἵνα δὲ πάντες γινώσκωσιν ὡ[ς καθῆκόν ἐστιν ἐν τοῖς Εἰσιτηρίοις τὰς τῆς Ἀρτέμιδος συνεπαύξε[ιν τιμάς, τὸν γραμματέα τῆς βουλῆς τὸν ἀεὶ κατασταθησόμενον καὶ τὸν ἀντιγραφέα καθ' ἕκαστον ἔτος τοῦ μηνὸς τοῦ Ἀρτεμισιῶνος τῆι δευτέραι μετὰ τὸ τὴν αἵρεσιν γενέσθαι τῆς τε ἱερείας καὶ τοῦ στεφανηφόρου παραναγινώσκειν ἐπάναγ[κ]ες τὸ [ψ]ήφισμα τὸ εἰσενεχθὲν ὑπὸ Διαγόρου τοῦ Ἰσαγόρου τὸ περὶ τῆ[ς τῶν Εἰσιτηρίων διοικήσεως· ἐὰν δὲ μὴ ποιήσωνται τὴν ἀνάγνωσιν [αὐτοῦ καθότι προστέτακται, ὀφείλειν αὐτῶν ἑκάτερον ἱερὰς δραχ· 𐅅 καὶ εἶναι φάσιν τῶι βου[λ]ομένωι τῶν πολιτῶν, οἷς [ἔξεστιν, ἐπὶ τῷ ἡμίσει πρὸς τοὺς εὐθύνους, θέσθω δὲ ὁ αἱρε[θ]ησ[όμενος ἀνὴρ ἐπὶ τῆς ἀναγραφῆς περὶ ὧν ἂν χειρίσῃ λόγον πρός τε τὸν γραμματέα τῆς βουλῆς καὶ τὸν ἀντιγραφέα, ἄμεινον δὲ εἶναι καὶ τοῖς κεκτημένοις οἰκίας ἢ ἐργαστήρια κατασκευάσασιν [κατὰ δύναμιν βωμοὺς πρὸ τῶν θυρῶν καὶ κονιάσασιν, ποιήσασιν δὲ [ἐπιγραφὴν Ἀρτέμιδος Λευκοφρυηνῆς Νικηφόρου· ἐὰν δέ τις μὴ ἐπι[τελέσῃ, μὴ ἄμεινον αὐτῶι εἶναι· ἀναγραφῆναι δὲ εἰς τὴν αὐτὴν παρασ[τάδα καὶ τόδε τὸ ψήφισμα. Ἡ(ι)ρέθη ἐπὶ τῆς ἀναγραφῆς τῶν ψηφισμάτων Μαιάνδριος Ἀρτεμιδώρου.

c.

— — — — — —
βουλευομεν — — —
τύχηι ἀγαθῆι — —
τῆς τε πόλεω[ς — —
τῶιδε τῶι ψη[φίσματι
Ἐπὶ Τηλε — —
ὑπὲρ τοῦ — —
. ει τῆιδε — —

a 49 unsichere Reste. b 11 am Schluss ΣΤΙ 18 ΔΗΜΩΙΙ 25 ΤΩΝΓ..ΤΩΙΕΡΩΝΠΙ; wohl bei der Reinigung versehen; vielleicht ἐκ τῶν ἱερῶν προσόδων? 35 Galen XVII 1,525 πρῶτον μὲν ὁ τοῦ π γράμματος χαρακτὴρ ἔχων ὀρθίαν μέσην γραμμὴν ὡς ἔνιοι γράφουσι τὸν τῶν ἐννεακοσίων χαρακτῆρα.

Weihung des Kultbildes der Leukophryene. Schrift der II. Hälfte des II. Jhdts. Der Inhalt von b ergiebt, dass zwischen a und b ein Stein fehlt, der den Schluss des ersten und den Anfang des zweiten Psephisma enthielt (vgl. b Z. 43). Die Lücke am Anfang von b (Z. 1—4) reicht schwerlich hin, diese Forderung zu erfüllen, und darum ist es möglich, dass das Bruchstück c von der verlorenen Quader stammt; denn es giebt Ende und Anfang zweier Psephismen. a kann sich auf den Neubau des Artemistempels durch Hermogenes (Zeugn. Nr. LIII) beziehen, und ist dann später zusammen mit b aufgezeichnet worden. Mit Παρθενὼν ist die Cella des Tempels gemeint, in der die Basis des nach Westen gerichteten Cultbildes wieder aufgefunden ist. Der Beschluss b fällt nach Anlage der Agora, deren Säulenhallen aber nicht viel jünger als der Hermogenestempel zu sein scheinen. b Z. 22 ist nach unserer Bezeichnung vielmehr die Südhalle gemeint. War also damals die Nordhalle nicht gebaut, oder heisst die Halle βόρειος, weil sie nach Norden offen ist? Das βουκεφάλιον ist wieder gefunden (vgl. oben die Fundnachricht). Auf welches Ereignis sich der nur hier der Leukophryene beigelegte Name einer Νικηφόρος bezieht, lässt sich nicht ermitteln. Niken das Cultbild der Leukophryene umschwebend auf Münzen des L. Verus: Mionnet Descr. III Ionie 647. b 17 συναρχία die Summe aller der Beamten, die als Oberbeamte zusammengefasst werden (a 39) und zuweilen als Collegium auftraten. b 40 wird eine κονίασις der Altäre vorgeschrieben, wie sie durch den Heroenaltar aus Olympia (Inschriften von Olympia Nr. 662) uns noch heut vor Augen steht; vgl. auch zu Nr. 98 Z. 51 und O. Puchstein Jahrbuch des archaeolog. Instituts XI (1896) S. 59.

---

101. Marmorstele, H. 1,57; Br. 0,53 (oben), 0,64 (unten); D. 0,15; Buchstabenh. 0,01; Zeilenabst. etwa 0,05; hinten rauh. Aus zwei grossen und mehreren kleinen Stücken zusammengesetzt. Oben stehen die Namen der Geehrten; von den Kränzen ist keine Spur vorhanden; vermutlich waren sie aufgemalt. Gefunden an der Südwestecke der Agora, in ein spätes Pflaster verbaut. In Berlin.

Τὸν	Φιλο-	Σωκρά-	[Ἀρι-]	[Μό-]
δῆ-	κράτην	την	σταγ[ό-]	[σχον]
μον.	Διονυ-	Ἀρκε-	ραν Νεύ-	Ζην[ο-]
	σίου.	σίλου.	μωνος.	δότου.

Ἐ]πὶ Ἀριστοκράτου τοῦ Ἀριστοκράτου τοῦ Ἀρτεμιδώρου Ἡραιῶνος δευ[τέραι
π]αρὰ Λαρβηνῶν ὑπὲρ τιμῶν τῶι τε δήμωι καὶ τοῖς δικασταῖς καὶ τῶι γρ(α)μμ[ατεῖ.
Ἔ]δοξεν τῆι βουλῆι καὶ τῶι δήμωι· ἀρχόντων γνώμη· ἐπεὶ οἱ ἀπ[ο-
σ]ταλέντες ὑπὸ τοῦ δήμου τοῦ Μαγνήτων τῶν πρὸς τῶι Μαιάνδρ[ωι
μετάπεμπτοι δικασταὶ Φιλοκράτης Διονυσίου, Σωκράτης Ἀρκ[ε-
σ]ίλου Ἀρισταγόρας Νεύμωνος καὶ ὁ γραμματεὺς αὐτῶν Μόσχος Ζη-
νοδότου τῶν δικῶν ἃς μὲν ἐδίκασαν ἀξίως τοῦ τε ἀποστείλαν-
τος καὶ τοῦ ἡμετέρου δήμου ποιούμενοι τὰς κρίσεις ἀπὸ τοῦ δικαί-
ου, τινὰς δὲ καὶ συνέλυσαν ἀπὸ παντὸς τοῦ βελτίστου εἰς ὁμόνοι-
αν ἀποκαθιστάντες τὸ πολίτευμα, ἐποιήσαν[τ]ο δὲ καὶ τὴν παρε-
πιδημίαν καλὴν καὶ εὐσχήμονα καὶ ἀξίαν ἀμφοτέρων τῶν πόλεων·
ὅπως οὖν καὶ ὁ δῆμος ἡμῶν φαίνηται τιμῶν τοὺς ἀγαθοὺς ἄνδρας καὶ

ἀρετῆι διαφέροντας, δεδόχθαι τῆι βουλῆι καὶ τ[ῶ]ι δήμωι· ἐπῃνῆσθαι τὸν δῆμον τὸν Μαγνήτων καὶ στεφανοῦσθαι χρυσέωι στεφάνωι ἐν τοῖς συντελουμένοις γυμνικοῖς ἀγῶσιν, ὅτι ὑπάρχων φίλος καὶ εὔνους καὶ συγγενὴς τοῦ ἡμετέρου δήμου ἀπέστειλεν ἄνδρας καλοὺς καὶ ἀγαθο[ὺς] καὶ (ἀ)ξίους ἀμφοτέρων τῶν πόλεων, καλεῖσθαι δὲ αὐτὸν καὶ εἰς πρ[οεδ[ρ]ία[ν], στῆσαι δὲ αὐτοῦ καὶ εἰκόνα χαλκῆν ὡς καλλίστην ἐν τῶι ἐπι[φανεστάτωι τόπωι τῆς πόλεως, ἐφ' ἧς καὶ ἐπιγραφῆναι τὴν αὐ[τ]ὴν ἐπιγ[ρα]φὴν τῆ[ι ἀν]αγγελίαι, ἐπῃνῆσθαι⟨σθαι⟩ δὲ καὶ τοὺς δικαστὰς [Φιλοκρ]ά[τ]ην, Σωκρά[τ]ην, Ἀρισταγόραν καὶ τὸν γραμματέα αὐτῶν [Μόσ]χον ἀρετῆς ἕνεκεν [κ]αὶ δικαιοσύνης καὶ στεφανοῦσθαι ἕκαστ[ο]ν αὐτῶν χρυσέωι στε]φάνῳ, εἶναι δὲ αὐτοὺς καὶ εὐεργέτας τοῦ δήμου, ὑπάρχειν δὲ αὐτοῖς] καὶ πολιτείαν ἐφ' ἴσῃ καὶ ὁμοίαι καὶ αὐτο[ῖ]ς καὶ ἐκγόνοις καὶ ἀτέλειαν π]άντων καὶ εἰσάγουσιν καὶ ἐξάγου[σ]ι[ν] καὶ τῶν ἄλλων πάντων με]τουσίαν, ὧν καὶ τοῖς ἄλλοις πολίταις μέ(τε)στιν, καὶ ἔφοδον ἐπὶ τὴ]ν βουλὴν καὶ τὸν δῆμον πρώτοις μετὰ τὰ ἱερά, εἶναι δὲ αὐτοῖς καὶ προεδ]ρίαν καὶ σίτησιν ἐμ πρυτ[α]νείωι, ὑπάρχειν δὲ καὶ τοῖς ἐκγόνοις αὐτῶν] τὰ αὐτὰ τίμια· τῆς δὲ [π]ροεδρίας καὶ τῆς ἀναγορεύσεως τῶν στεφ]άνων ἐπιμελείσθω ἀεὶ ὁ αἱρούμενος γραμματεὺς ἐν τοῖς ὑφ' ἡμῶν? σ]υντελουμένοις [γ]υμνικοῖς ἀγῶσιν, ἀναγορευέτω δὲ ὅτι "ὁ δῆμος καλεῖ εἰς π]ροεδρία[ν] τὸν δῆμον τὸν Μαγνήτων καὶ στ[εφανοῖ αὐτὸν χρυσέωι στεφ]άνω(ι) ἀρετῆς ἕνεκεν καὶ ἐπιμελείας ἣν ἐποιήσαντο μετὰ πάσης σπουδ]ῆς περὶ τὴν ἐ(ξ)αποστολὴν τῶν τε δικαστῶν καὶ τοῦ γραμματέως"· ὁμ]οίως δὲ καλείσθωσαν [ε]ἰς προεδρίαν οἵ τε δικασταὶ Φιλοκράτης Διο[νυ[σίο]υ, Σωκράτης Ἀρκεσίλου, Ἀρισταγόρας Νεύμωνος καὶ ὁ γραμμα]τεὺς Μ[ό]σχ[ος] Ζηνοδότου καὶ στεφανούσθω ἕκαστος αὐτῶν χρυσέω]ι στεφάνωι ἀρε[τ]ῆς ἕνεκεν καὶ δικαιοσύνης, στήσει(ν) δὲ αὐτῶν ἑκάστ]ου καὶ εἰκόνα χαλκ[ῆ]ν, ἐπιγραφῆναι δὲ ἐφ' ἑκάσ[τ]ης τοὔ[νομα πατρό]θεν καὶ ὅτ[ι] ὁ δῆμος ἐτίμησεν δικάσαντα ἴσως καὶ δ[ικαίως, ἐπί τ]ε τῆς τοῦ γραμματέω[ς], ὅτι ὁ δῆμος ἐ[τί]μησεν γραμματεύοντα] ἴσως καὶ δικαίως· τὸ δὲ ἐσόμενον εἰς [τ]α[ῦτ]α ἀ[ν]ά[λ]ωμα δότωσαν] οἱ ἄρχοντες ἀφ' ὧν ἂν ὁ δῆμος ἀποτάξῃ πό[ρ]ω[ν, καλέ]σαι δὲ αὐτοὺς κα]ὶ ἐπὶ τὴν κοινὴν ἑστίαν, πέμψαι δὲ αὐτῶν ἑκάστωι κα[ὶ] ξένιον τὸ ἐκ τ]οῦ νόμου πενταπλοῦν· ἵνα δὲ καὶ τοῖς ἐπιγινομ[έ]νοις [δ]ι[αμένηι ὑπ]όμνημα τῆς τε τῶν ἀνδρῶν ἀρετῆς καὶ τῆς τοῦ ἡμετέρου δήμ]ου εὐχαριστίας, ἀναγράψαι τόδε τὸ ψήφισμα εἰς στήλην λευκοῦ] λίθου καὶ στῆσαι ἐν τῶι τοῦ Διὸς ἱερῶι, ἑλέσθαι δὲ [καὶ πρεσβευ]τήν, ὃς ἀφικόμενος πρὸς Μάγνητας φίλους ὄντας [καὶ εὔνους καὶ] συγγενεῖς τοῦ δήμου τό τε ψήφισμα ἀποδώσει καὶ ἐπελθὼν ἐπ]ὶ τὸν δῆμον ἐμφανιεῖ τήν τε τῶν ἀνδρῶν ἀρετὴν καὶ δικ[α]ιοσύν]ην καὶ παρακαλέσει αὐτοὺς ἀποδέξασθαι τὰ ἐ[ψ]ηφισμένα τίμια κ]αὶ προνοῆσαι ὅπως ἀναγορεύωνται κ[α]ὶ παρ' αὐτοῖς αἱ τιμ[αὶ τοῦ] τε δήμου καὶ τῶν δικαστῶν καὶ τοῦ γραμματέως ἐν τοῖς τιθ[εμέν]οις ὑπ' αὐτῶν ἀγῶσιν, ἀναγραφῇ δὲ τόδε τὸ ψήφισμα καὶ εἰς στήλην λευ]κοῦ λίθου καὶ ἀνατεθῇ ἐν τῶι ἐπιφανεστάτωι τόπωι τῆς ἀγορᾶς, πρ[ονοῆ]σαι δὲ καὶ τῆς ἀνακομιδῆς αὐτῶν ὅπω[ς] ἀνακο[μ]ισθῶσιν εἰς τὴν ἰδία]ν μετὰ ἀπάσης ἀσφαλείας. Ἡ(ι)ρέθη πρεσβευτὴς Μηνογένης Ζήνωνος.

Πρὸς τὸ Λαρβηνῶν·

Ἔδ]οξεν τῶι δήμωι· Ἀρισταγόρας Ἀρισταγόρου τοῦ Ἰννίωνος εἶπε[ν·] ἐπε[ιδ]ὴ παρὰ Λαρβηνῶν ἥκει πρεσβευτὴς Μηνογένης Ζή[νωνο]ς [ἐπ]ὶ τὸν

(— — — — — — — — — — — — — — — — — —)
τ]ὰς γεγενημένας τιμὰς ὑπὸ τῆς ἑαυτοῦ πατρίδος τῶι τε δ[ή]μωι ἡ-
μ]ῶν καὶ τοῖς ἐξαποσταλεῖσιν πρὸς αὐτοὺς δικασταῖς Φιλ[ο]κράτη[ι]
Δι]ονυσίου, Σωκράτηι Ἀρκεσίλου, Ἀρισταγόραι Νεύμωνος κα[ὶ τ]ῶ[ι] συν-
ε]ξαπεσταλμένωι αὐτοῖς γραμματεῖ Μόσχωι Ζηνοδότου, ὅ[ς] καὶ ἐπελ-
θ]ὼν ἐπὶ τὸν δῆμον παρεκάλει ἀποδέξασθαί τε τὰς τιμὰς καὶ προνοι-
ἡ]σαι ὅπως ἀναγορεύωνται καὶ παρ' ἡμεῖν ἐμ πᾶσι τοῖς τιθεμένοις ὑπὸ τοῦ
δ]ήμου ἀγῶσιν, ἀναγραφῇ δὲ καὶ τὸ ψήφισμα εἰς στήλην λευκοῦ λίθου καὶ
ἀνατεθῇ ἐν τῶι ἐπιφανεστάτωι τόπωι τῆς ἀγορᾶς, δεδόχθαι τῶι δή-
μωι· ἀποκριθῆναι Λαρβηνοῖς φίλοις οὖσιν καὶ εὔνοις, διότι ὁ δῆμος ἀ-
ποδέχεται τὰς τιμὰς τὰς γεγενημένας ἑαυτῶι τε καὶ τοῖς ἐξαποστα-
λ]εῖσιν πρὸς αὐτοὺς ἀνδράσιν, προνοιήσει δὲ καὶ περὶ τοῦ τὴν ἀνα-
γ]όρευσιν γίνεσθαι ἐπὶ πᾶσιν τοῖς τιθεμένοις ὑπὸ τῆς πόλεως ἀγῶ-
σ]ιν, φ[ρο]ντιεῖ δὲ καὶ ὑπὲρ τοῦ ἀναγραφῆναι τὸ ψήφισμα εἰς στήλην
κ]αὶ ἀνατεθῆναι ἐν τῆι ἀγορᾶι, καθότι αὐτοί τε γεγράπφασιν καὶ ὁ πρε-
σ]βευτὴς αὐτῶν παρεκάλει, ὃν καὶ ἐπῃνῆσθαι ἐπὶ τῶι πεποιῆσθαι
τ]οὺς λόγους μετὰ πάσης σπο(υ)δῆς, ἀποσταλῆναι δὲ αὐτῶι καὶ ξένι-
ον ὑπὸ τῶν οἰκονόμων τὸ κατὰ τὸ ψήφισμα, κληθῆναι δὲ αὐτὸν καὶ
ὑ]πὸ τοῦ στεφανηφόρου εἰς τὸ πρυτανεῖον ἐπὶ τὴν κοινὴν τῆς πό-
λεως ὑποδοχήν· ἵνα δὲ καὶ ἡ ἀναγόρευσις γίνηται τῶν τιμῶν, τὴν ἐ-
π]ιμέλειαν ποιείσθωσαν οἱ ἀγωνοθέται, αἱρεθῆναι δὲ καὶ ἄνδρα ὃς ἐ-
γ]δώσει κατασκευάσαι στήλην, εἰς ἣν ἀναγραφήσεται τοῦτό τε τὸ ψή-
φισμα καὶ τὸ παρὰ Λαρβηνῶν ἀπεσταλμένον, προνοήσει δὲ καὶ τοῦ
ἀνατεθῆναι τὴν στήλην ἐν τῆι ἀγορᾶι, τὴν δὲ ἐσομένην δαπάνην
χορηγησάτωσαν οἱ οἰκονόμοι, κομισάσθωσαν δὲ ἐκ τῶν προσψη-
φισθησομένων πόρων.

Viele Versehen des Steinmetzen: 6 ΓΡΜΝ 21 ΑΙΞΙΟΥΣ 30 ΜΕΣΤΙΝ 37 ΑΝΩΤ 38 ΕΑΠΟ 42 ΣΤΗΣΕΙΔ 61 vielleicht (Μ)υννίωνος? Nach 65 fehlt eine ganze Zeile, dem Sinne nach: δῆμον ἡμῶν καὶ παρακαλεῖ ἀποδέξασθαι. 79 ΓΕΓΡΑΠΦΑΣΙΝ 81 ΣΠΟΔΗΣ

Magnetische Richter bei den Larbenern.

Schrift aus der II. Hälfte des II. Jhdts. Die Larbener waren bisher nur durch den Kultnamen des Gottes Λαρβηνός zu erschliessen. Die Form Λαρβηνός begegnet nur in der Inschrift Journal of hellenic studies IV (1883) 381 Nr. 4, Λαρμηνός ebenda VIII (1887) 389 Nr. 18. Λαρβανὸς Ἑλλανίκου ἱππεύς Inschr. aus Selaima in Syrien (Le Bas III 2 Nr. 2384). Der Tempel des Lairbenos lag in der Nähe des heutigen Badinlar (nicht weit von Dionysopolis): Hogarth Journal VIII 376. Die Lage der Stadt der Larbener ist unbekannt. Z. 62 vgl. Nr. 15 b 24 und Nr. 97 Z. 91.

102. Weisser Marmor, rechts ist die Oberfläche völlig abgearbeitet; links gebrochen; H. 0,52; Br. 0,41; D. 0,075; Buchstabenh. 0,007; Zeilenabst. etwa 0,03. Gefunden an der Südwestecke der Agora nicht weit vom Brunnenhause. In Berlin.

— — — — — — — — — — — — — — — —
— — — στεφαν]ωθῆ[ναι — — — — — — — —
τ]οῖς Δι[ονυσί]οις χρυσέ[ωι στεφάνωι — — — — —
ἡμ]έραι, τῆς δὲ ἀναγγελ[ίας τῶν τιμῶν ἐπιμέλει-
αν ποιήσασθαι τοὺς ἀγ[ωνοθέτας — — — — —
Δη]μήτριος Ἀναξιμβρότου [εἶπεν — — — ὑπὲρ τῶν
γερ]όντων ἐπελθὼν ἐπί τε τὴ[ν βουλὴν καὶ τὸν δῆμον
. . ι τὰς ἐψηφισμένας Εὐβούλ[ωι τιμὰς — — — —
. . καὶ παρεκάλεσεν αὐτοῖς τ[όπον δοῦναι — — — ἐν
τῆ]ι παλαίστραι οὗ στήσουσι [τὴν εἰκόνα, ἀνατεθῆναι
δὲ κα]ὶ ἄλλην γραπτὴν εἰκόνα — — — — — — —

.. ὑ]πὸ τῶν γερόντων, ἔτι δὲ — — — — — — —
... τοῖς Διονυσίοις ὁ στέφα[νος — — — — — —
... ουσιν καθότι παρακαλο[ῦσι — — — — — — —
.. μ]ουσικοῦ τοὺς ἐσομένου[ς ἀγωνοθέτας — — — —
πο]ιήσασθαι τὴν ἀναγγελ[ίαν — ὅπως τὸν στέφανον
τὸ]ν ἐψηφισμένον αὐτῶ[ι ὑπὸ τῶν γερόντων — — —
ἀναγ]γέλλωσιν, ἀναγραφῆν[αι δὲ — — — — τὸ ψή-
φισ]μα τὸ κεκυρωμένον — — — — — — — — —
ἀναγ]ραφῆναι δὲ εἰστήλην — — — — — — — —
... τ]ὸ γεγονὸς αὐτῶι ὑπὸ [τῶν γερόντων καὶ στῆσαι
παρ]ὰ τὴν εἰκόνα αὐτοῦ· [λελύσθαι δὲ καὶ εἴ τι
ψήφ]ισμα ἐναντίον ἐστίν.

Darunter die späte Kritzelei ΜΡ

Wieviel Zeilen oben fehlen, lässt sich nicht bestimmen.

Psephisma der γέροντες für Eubulos.

Schrift aus der II. Hälfte des II. Jhdts., wohl etwas jünger als Nr. 101.

23 ist die Ligatur schwer zu deuten: am unwahrscheinlichsten wohl Αὐρ(ήλιος), eher Μύρ(ων).

---

103. Grosse Marmorplatte, welche behufs später Verwendung rechts völlig abgearbeitet ist bis auf Z. 46 bis 49. H. 1,62; Br. 0,67; D. 0,16; Buchstabenh. c. 0,01; Zeilenabst. 0,005—0,01. Die Überschrift (Z. 1—3) hat grössere Buchstaben und grösseren Zeilenabstand. Unten frei ein Raum von 0,14. Gefunden an der Südwestecke der Agora im Pflaster nicht weit vom Brunnenhause. Im Magazin von Balatchyk.

ὁ δῆμος ὁ [Σαμίων Τηλέστρατον
Διογένους [Μάγνητα ἀπὸ Μαιάνδρου
ἐτείμησεν.

Στεφανηφοροῦντος — — — — — — — — — — — — — — —
παρὰ Σαμίων ὑπὲρ τιμ[ῶν Τηλεστράτωι Διογένους — — — — — γνώ-
μη πρυτάνεων· ὑπὲρ ὧν [— — — — — — — — — — — ἐπελθόν-
τες πλείονες τῶν πο[λιτῶν — — — — — — πρεσβείαν ἑλέσθαι πρὸς
Μάγνητας οἰκείους κα[ὶ ἰσοπολίτας καὶ φίλους ὄντας τοῦ ἡμετέρου
δήμου, ἥτις ἀφικομέν[η εἰς Μαγνησίαν — — — — — — — — παρα-
καλέσει κατατάξαι [— — — — — — — — — — — — — — φι-
λάνθρωπα τῶ[ι] πολ[ίτηι αὐτῶν Τηλεστράτωι Διογένους, ἀπο-
δεῖξαι ἤδη πρεσβευ[τὰς — — — — οἵτινες ἀφικόμενοι πρὸς — — —
ἰσοπολίτας ὑπάρχον[τας — — — — — — — — — — — — — —
πρὸς αὐτοὺς καὶ ἀναδ[είξαντες τὸ ψήφισμα παρακαλέσουσι — — — κα-
τατάξαι καὶ παρ' ἑαυτοῖς ε[ἰς τὰ δημόσια γράμματα τὰ ἐψηφισμένα τῷ
πολίτηι αὐτῶν Τηλεσ]τράτωι φιλάνθρωπα — — — — — — — ἀκού-
σαντες τὰ παρακαλού[μενα — — — — — — — — — — — — —
ὑπαρχούσηι ταῖς πόλ[εσιν — — — — — — — — — — — — φι-
λίᾳ. πρεσβευταὶ ἀπεδε[ίχθησαν Θεόδοτος — — — — — — — ἐδο-
ξεν τῶι δήμωι· Λεον[— — — — — — — — — — — — — Πολυ-?
γνώτου Ἰάσων Ἰάσον[ος — — — — — — — — — — — — — —
φύσει δὲ Μιννίωνο[ς — — — — — — — — — — — — — — —
γένου εἶπαν· ὑπὲρ ὧν — — — — — — — — — — — — — —
σάσης προεγράψαντ[ο ἐπαινέσαι Τηλέστρατον Διογένους Μάγνητα ἀπὸ
Μαιάνδρου ε(ὔ)νουν [καὶ χρήσιμον ὑπάρχοντα τῆι πόλει καὶ ἰδίαι

